Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: mlw-am

Ἀριστοφάνους Σχόλια · Aristophanes Scholia

# Scholia-Knights

## Σχόλια εἰς Ἱππεῖς

**Period:** Ἑλληνιστική Hellenistic
**Dialect:** Κοινὴ τεχνική Technical Koine
**Domain:** Γραμματική Grammar
**Format:** Πεζός Prose

book A1 τὸ δρᾶμα τοῦτο πεποίηται εἰς Κλέωνα, τὸν Ἀθηναίων δημαγωγόν. ὑπόκειται δὲ ὡς Παφλαγὼν νεώνητος δουλεύων τῷ Δήμῳ καὶ προαγόμενος παρ' αὐτῷ περιττότερον. ἐπιτιθεμένοιν δὲ αὐτῷ δυοῖν τοῖν ὁμοδούλοιν καὶ κατά τινα λόγια πονηρίᾳ διάσημον ἀλλαντοπώλην Ἀγοράκριτον ἐπαγόντοιν, ὃς ἐπιτροπεύσει τοῦ δήμου τῶν Ἀθηναίων, αὐτοὶ οἱ Ἀθηναίων ἱππεῖς συλλαβόντες ἐν χοροῦ σχήματι παραφαίνονται· ὑφ' ὧν προπηλακιζόμενος ὁ Κλέων ἀγανακτεῖ, καὶ διενεχθεὶς ἱκανῶς περὶ τοῦ ἀναγωγότερος εἶναι τῶν ἐναντιουμένων, σφᾶς ὡς συνομωμοκότας κατὰ τῆς πόλεως 〈διαβαλὼν〉 πρὸς τὴν βουλὴν ἵεται· διώξαντος δὲ καὶ τοῦ ἀλλαντοπώλου κατὰ πόδας, οἱ ἱππεῖς περί τε τοῦ ποιητοῦ τινα καὶ τῶν προγόνων, ἔτι δὲ καὶ τῶν συγκινδυνευόντων σφίσιν ἐπὶ ταῖς μάχαις 〈ἵππων〉, πρὸς τοὺς πολίτας ἁδροτέρως διαλέγονται, ὅ τε ἀλλαντοπώλης περιγεγενημένος ἐν βουλῇ μάλα γελοίως τοῦ Κλέωνος, καὶ λοιδορούμενος αὖθις αὐτῷ προσέρχεται· ἐκκαλεσαμένου δὲ τοῦ Κλέωνος τὸν Δῆμον, προσελθὼν οὗτος διαφερομένων ἀκροᾶται. λόγων δὲ πολλῶν γενομένων

book A1 κατὰ τοῦ Κλέωνος, τοῦ Ἀγορακρίτου μάλ' ἐντέχνως τοῖς ἐπινοήμασι καὶ ταῖς θωπείαις καὶ προσέτι ταῖς ἐκ τῶν λογίων ὑπερβολαῖς κρατοῦντος, κατὰ μικρὸν ὁ Δῆμος τοῖς λόγοις συνεφέλκεται. δείσαντος δὲ τοῦ Κλέωνος κἀπὶ τὸ ψωμίζειν τὸν Δῆμον ὁρμήσαντος, ἀντιψωμίζειν ἅτερος ἐγχειρεῖ. καὶ τέλος τοῦ Δήμου τὴν ἑκατέρου κίστην συνέντος, εἶτα τῆς μὲν κενῆς, τῆς δὲ τοῦ Κλέωνος μεστῆς εὑρεθείσης, ἐλεγχθεὶς αὐτὸς ὡς περιφανῶς τὰ τοῦ Δήμου κλέπτων, εἴκει θατέρῳ τῆς ἐπιτροπείας· μετὰ ταῦτα δὲ τοῦ ἀλλαντοπώλου τὸν Δῆμον ἀφεψήσαντος, εἶτα νεώτερον ἐξαῦθις εἰς τοὐμφανὲς γεγονότα προαγαγόντος, Κλέων περικείμενος τὴν Ἀγορακρίτου σκευὴν ἐπὶ παραδειγματισμῷ διὰ μέσης τῆς πόλεως ἀλλαντοπωλῶν ἀνὰ μέρος καὶ τῇ τέχνῃ χρησόμενος πέμπεται, καὶ ἡ

book A1 ἐπιτροπὴ τῷ ἀλλαντοπώλῃ παραδίδοται. τὸ δὲ δρᾶμα τῶν ἄγαν καλῶς πεποιημένων.

book A2 Ὁ σκοπὸς αὐτῷ πρὸς τὸ καθελεῖν Κλέωνα. οὗτος γὰρ βυρσοπώλης ὢν ἐκράτει τῶν Ἀθηναίων ἐκ προφάσεως τοιαύτης. Ἀθηναῖοι πόλιν Πύλου, λεγομένην Σφακτηρίαν, ἐπολιόρκουν διὰ Δημοσθένους στρατηγοῦ καὶ Νικίου· ὧν στρατηγῶν χρονισάντων ἐδυσχέραινον οἱ Ἀθηναῖοι. καὶ εἰς ἐκκλησίαν συνελθόντων αὐτῶν καὶ ἀδημονούντων, Κλέων τις βυρσοπώλης ἀναστὰς ὑπέσχετο δεσμίους φέρειν τοὺς ὑπεναντίους εἴσω εἴκοσιν ἡμερῶν, εἰ στρατηγὸς αἱρεθείη· ὅπερ καὶ γέγονε. κατὰ τὰς ὑποσχέσεις οὖν ἐστρατήγει κυκῶν τὴν πόλιν. ἐφ' οἷς μὴ ἐνεγκὼν Ἀριστοφάνης καθίησι τὸ τῶν Ἱππέων δρᾶμα δι' αὐτοῦ, ἐπεὶ τῶν σκευοποιῶν οὐδεὶς ἐπλάσατο

τὸ τοῦ Κλέωνος πρόσωπον διὰ φόβον. καὶ τὰ μὲν πρῶτα κύπτει φοβούμενος· εἶτα προφανεὶς αὐτὸς ἐδίδαξε τὸ δρᾶμα.

book A3 Ἔοικεν ὁ προλογίζων εἶναι Δημοσθένης, ὃς ἐκεκμήκει περὶ τὴν Πύλου πολιορκίαν, ἀφῃρέθη δὲ τὴν στρατηγίαν ὑπὸ Κλέωνος, ὑποσχομένου τότε τοῖς Ἀθηναίοις παραστήσεσθαι τὴν Πύλον εἴσω εἴκοσιν ἡμερῶν· ὃ καὶ κατώρθωσε διὰ τὸ τὰ πλεῖστα τῆς ἁλώσεως προπεπονῆσθαι Δημοσθένει. ἔοικε δὲ ὡς ἐπὶ οἰκίας δεσποτικῆς ποιεῖσθαι τὸν λόγον. εἴη δ’ ἂν δεσπότης ὁ Δῆμος, οἰκία ἡ πόλις· οἰκέται δὲ δύο τοῦ Δήμου προλογίζουσι κακῶς πάσχοντες ὑπὸ Κλέωνος. ὁ δὲ χορὸς ἐκ τῶν ἱππέων ἐστίν, οἳ καὶ ἐζημίωσαν τὸν Κλέωνα πέντε ταλάντοις ἐπὶ δωροδοκίᾳ ἁλόντα. λέγουσι δὲ τῶν οἰκετῶν τὸν μὲν εἶναι Δημοσθένην, τὸν δὲ Νικίαν, ἵνα ὦσι δημηγόροι οἱ δύο.

book A4 Ἰστέον ὅτι εἰς τέτταρα μέρη διῄρητο ὁ δῆμος τῶν Ἀθηναίων, εἰς πεντακοσιομεδίμνους, εἰς ἱππέας, εἰς ζευγίτας καὶ εἰς θῆτας.

book A5 Ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ Στρατοκλέους ἄρχοντος δημοσίᾳ εἰς Λήναια δι’ αὐτοῦ 〈τοῦ〉 Ἀριστοφάνους. πρῶτος ἦν· ἐνίκα δεύτερος Κρατῖνος Σατύροις· τρίτος Ἀριστομένης Ὑλοφόροις.

book A6 Οἰκία ἡ πόλις, δεσπότης ὁ Δῆμος, θεράποντες οἱ στρατηγοί.

book B Παράγει τινὰ Κλέωνα, τὸν καλούμενον Παφλαγόνα κἄτι βυρσοπώλην πικρότατα, κατεσθίοντά πως τὰ κοινὰ χρήματα, καὶ παραλογισμῷ διαφοροῦντ’ ἐρρωμένως ἀλλαντοπώλην, εὐθέως 〈τε〉 σκατοφάγον, πεισθέντ’ ἐπιτίθεσθαι σὺν ἱππεῦσίν τισιν, ἐν τῷ χορῷ παροῦσι, τῇ τῶν πραγμάτων ἀρχῇ, Κλέωνός τ’ ἐν μέσῳ κατηγορεῖν. ἐγένετο τοῦτ’· ἐξέπεσεν ὁ Κλέων παγκάκως, ὁ δὲ σκατοφάγος ἔτυχε προεδρίας καλῆς.

book 1 Δημοσθένης· Νικίας· Κλέων· Ἀγοράκριτος ἀλλαντοπώλης· Χορὸς ἱππέων· Δῆμος.

book 1a (ad vv. 1—196) στίχοι ἰαμβικοὶ ἀκατάληκτοι ρϟγʹ, ὧν ὁ τελευταῖος “καὶ ποικίλως πως καὶ σαφῶς ᾐνιγμένος”. VΕΓΓ2Θ

book 1b (ad vv. 1—246) τὰ περὶ τῶν μέτρων ταῦτα ἡμέτερά ἐστι Δημητρίου τοῦ Τρικλινίου. ἡ εἴσθεσις τοῦ παρόντος δράματος εὐθὺς ἐξ ἀμοιβαίων προσώπων ἄρχεται. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρϟγʹ, ὧν τελευταῖος “καὶ ποικίλως πως καὶ σοφῶς ᾐνιγμένος”. μετὰ τοῦτο δὲ καθ’ ὑπερβολὴν στίχοι δακτυλικοὶ ἑξάμετροι ἀκατάληκτοι (κατὰ γὰρ μονοποδίαν μετρεῖται τὸ δακτυλικόν) εʹ. ἑξῆς δὲ πάλιν ἐν ἐκθέσει ἕτεροι ὅμοιοι στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μʹ. ἐν ἐκθέσει δὲ τούτων στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ εʹ, ὧν τελευταῖος “ἀλλ’ ἀμύνου καὶ δίωκε καὶ τροπὴν αὐτοῦ ποιοῦ”. ἐπὶ ταῖς ἀποθέσεσι δὲ παράγραφος,

book 1b ἐπὶ δὲ τῷ τέλει τοῦ τελευταίου στίχου κορωνίς. VatLh

book 1c (I) Ἰατταταιάξ: σχετλιασμὸν δηλοῖ αὐτό τε τοῦτο καὶ τὸ ἑξῆς. ἔοικε δὲ ὁ προλογίζων εἶναι Δημοσθένης ὁ προκαμὼν ἐν Πύλῳ διὰ τοῦτο. VΕΓΘΜ (II) ἄλλως: σχετλιαστικὸν τὸ ῥῆμα. παρεπιγραφὴ δὲ λέγεται τὰ τοιαῦτα, ἀλλὰ καὶ γίγνεται τοῖς σχήμασιν. ἔστι δὲ εἷς τῶν προειρημένων δῆθεν οἰκετῶν ἀποδυρόμενος 〈πρὸς〉 τὸν ἕτερον. VΕΓΘΜ

book 1d Ἰατταταιάξ: σχετλιαστικόν ἐστι τὸ ἐπίρρημα. παρεπιγραφὴ δὲ λέγεται τὰ τοιαῦτα. ἔστι δὲ εἷς τῶν οἰκετῶν Δημοσθένης ὁ προκαμὼν ἐν Πύλῳ ἀποδυρόμενος πρὸς τὸν ἕτερον. VatLh

book 1e Ἰατταταιάξ] ἐπίρρημα σχετλιαστικόν. VatLh

book 1f τῶν κακῶν] ἕνεκα. VatLh

book 2a (I) Παφλαγόνα: τὸν Κλέωνα, ὡς δημοτικὸν οἰκέτην. Παφλαγόνα δὲ οὐ τῷ γένει, ἀλλ’ ἐπειδὴ ἐπάφλαζεν ἐν τῇ ἐκκλησίᾳ. νεώνητον δὲ τὸν νεωστὶ καταξιωθέντα τῆς ἀρχῆς. VΕΓΘ (II) Παφλαγόνα δὲ τὸν Κλέωνα διὰ τὸ τῆς φωνῆς ἀπηχὲς ἀπὸ τοῦ παφλάζειν ὠνόμασεν .... ἔφην

γὰρ ὅτι ξένος ὢν ἐπολιτεύετο· ὀνειδίζει οὖν αὐτὸν ὡς ξένον καὶ βάρβαρον. νεώνητον δὲ τὸν νεωστὶ ἠγορασμένον. RVEΓΘM

book 2b (I) 〈νεώνητον〉 ἐπεὶ μὴ ἐκ γένους ἦν Ἀθηναῖος, ἀλλὰ νεωστὶ προσεληλυθὼς τῇ πολιτείᾳ. ἐμφαίνει δὲ διὰ τούτων ὅτι καὶ τῶν Ἀθηναίων καθάπτεται, ὅτι δέον αὐτοὺς πιστεύειν τοῖς γνησίοις καὶ πολλὰ τὴν πόλιν εὐηργετηκόσιν, οἱ δὲ μᾶλλον ἐτίμων τὸν Κλέωνα. πεφύκαμεν γὰρ καὶ τῶν οἰκετῶν μᾶλλον πιστεύειν τοῖς οἴκοι γεννηθεῖσι καὶ τραφεῖσιν ἢ οἷς ἂν ἐπικτησώμεθα πριάμενοι. RVEΓΘM (II) ἄλλως: οὐχ ὅτι νεωστὶ τῇ δημαγωγίᾳ προσῆλθε. VEΓΘM

book 2c τὸ δὲ ἑξῆς, κακὸν κακῶς ἀπολέσειαν οἱ θεοὶ τὸν Παφλαγόνα τὸν νεώνητον. VEΓΘM

book 2d νεώνητον δὲ ὅτι τὸ διάστημα νεωστὶ ἐπεκτησάμεθα πριάμενοι. Γac (nunc erasum) ΘM

book 2e Παφλαγόνα: τὸν 〈ἐν〉 τῇ ἐκκλησίᾳ παφλάζοντα, τὸν λαρυγγιστήν, τὸν Κλέωνα. νεώνητον δὲ λέγει τὸν τῆς ἀρχῆς νέον ἀξιωθέντα, ἐπεὶ μὴ ἐκ γένους ἦν Ἀθηναῖος, ἀλλὰ νεωστὶ προσεληλυθὼς τῇ πόλει. M

book 2f Παφλαγόνα τὸν Κλέωνα λέγει οὐ τῷ γένει, ἀλλὰ διὰ τὸ τῆς φωνῆς ἀπηχὲς ἀπὸ τοῦ παφλάζειν καὶ ἀσήμως βοᾶν ἐν τῇ ἐκκλησίᾳ. νεώνητον δὲ ὡς νεωστὶ καταξιωθέντα τῆς ἀρχῆς, ἐπεὶ μὴ τὸ γένος ἦν Ἀθηναῖος, ἀλλὰ νεωστὶ προσεληλυθὼς τῇ πολιτείᾳ. κωμῳδεῖ δὲ αὐτὸν ὡς ξένον καὶ βάρβαρον ἐξ ἀμφοτέρων τῶν λέξεων. καθάπτεται δὲ καὶ τῶν Ἀθηναίων, ὅτι δέον αὐτοὺς πιστεύειν τοῖς γνησίοις καὶ πολλὰ τὴν πόλιν εὐηργετηκόσιν, οἱ δὲ μᾶλλον ἐτίμων τοὺς ξένους καὶ φαύλους. εἰώθαμεν γὰρ τῶν οἰκετῶν μάλιστα πιστεύειν τοῖς οἴκοι γεννηθεῖσί τε καὶ τραφεῖσιν, ἢ οἷς ἂν ἐπικτησώμεθα πριάμενοι. VatLh

book 2g Παφλαγόνα] τὸν Κλέωνα λέγει. M

book 2h Παφλαγόνα] τὸν Κλέωνα. VatLh

book 2i νεώνητον] νεωστὶ ἠγορασμένον. M

book 2k νεώνητον] νεωστὶ ἐλθόντα. VatLh

book 2l κακόν] ὄντα. VatLh

book 3a αὐταῖσι βουλαῖς: Ἀττικὸν τὸ σχῆμα καὶ ἡ σύνταξις τοῦ λόγου, ὡς εἰ λέγοιμεν, αὐτοῖς ὅπλοις, αὐτοῖς ἵπποις. λείπει δὲ ἡ σὺν πρόθεσις. VEΓΘ

book 3b αὐταῖσι βουλαῖς] σὺν ταῖς βουλαῖς. VΓ3

book 3c αὐταῖσι βουλαῖς] ξύν, ἐσχηματισμένον. M

book 3d αὐταῖσι βουλαῖς] σὺν τοῖς βουλεύμασιν. Ἀττικὸν τὸ σχῆμα, ὡς εἰ λέγοιμεν αὐτοῖς ὅπλοις, αὐτοῖς ἵπποις. λείπει δὲ ἡ σύν. VatLh

book 4a (I) εἰσήρρησεν: εἰσῆλθεν, εἰσεπήδησεν, ὡς βίᾳ καὶ ἀναιδῶς τῇ πολιτείᾳ προσελθόντος. Ἀττικὴ δὲ ἡ λέξις. ἐν ἐνίοις δὲ ἀντιγράφοις εἰσέφρησε γράφεται, δηλούσης τῆς λέξεως τὸ ἐπιπηδῆσαι, ἔτι δὲ καὶ τὸ μετὰ φθορᾶς εἰσελθεῖν. RVEΓΘ (II) ἄλλως: μετὰ φθορᾶς παρεγένετο. VEΓ2

book 4b εἰσήρρησεν] μετὰ φθορᾶς εἰσῆλθε. MVat

book 4e εἰσήρρησεν] μετὰ φθορᾶς παρεγένετο, ὡς ἀναιδῶς ἐλθόντος. Lh

book 4f τὴν οἰκίαν] ἀντὶ τοῦ τὴν πόλιν. VatLh

book 5a πληγὰς: ὕβρεις καὶ κακὰ πράγματα. RΓΘ

book 5b πληγὰς: ἤγουν κακὰ πράγματα. VEΓ3

book 5c πληγὰς] ὕβρεις. M

book 5d τὸ δὲ προστρίβεται ἀντὶ τοῦ κατασκευάζει καὶ μηχανᾶται καὶ προσποιεῖται. RVEΓΘ

book 5e προστρίβεται] κατασκευάζει, μηχανᾶται, φέρει. M

book 5f προστρίβεται] ἀντὶ τοῦ κατασκευάζει, μηχανᾶται. VatLh

book 5g τοῖς οἰκέταις] ἀντὶ τοῦ τοῖς πολίταις. VatLh

book 5h —Vat

book 6a κάκιστα δῆθ’] ἀπόλοιτο. VatLh

book 6b πρῶτος Παφλαγόνων: ὡς πάντων μὲν ὄντων πονηρῶν, ἐξαιρέτως δὲ τοῦ Κλέωνος. RVΕΓΘΜVatLh

book 7a αὐταῖσι διαβολαῖς: ὅμοιον καὶ τοῦτο τὸ σχῆμα τῷ “αὐταῖσι βουλαῖς”· τοῦτο δὲ εἶπεν, ἐπεὶ διαβάλλων ὁ Κλέων τοὺς ἄλλους στρατηγοὺς καὶ προσκρούων τῷ δήμῳ εἰς ἑαυτὸν βλέπειν τοὺς Ἀθηναίους ἐποίησεν. RVΕΓΘΜ

book 7b αὐταῖσι διαβολαῖς] σὺν. MVatLh

book 7c αὐταῖσι διαβολαῖς] ἔστι δὲ Ἀττικόν. λείπει οὖν ἡ σὺν πρόθεσις. M

book 8 πρόσελθ’: πλησίασον, ἐγγὺς ἐλθέ. RΕΓ2

book 9a (I) ξυναυλίαν: ξυναυλία καλεῖται ὅταν δύο αὐληταὶ τὸ αὐτὸ αὐλῶσιν. ὁ δὲ Ὄλυμπος μουσικὸς ἦν, Μαρσύου μαθητής· ἔγραψε δὲ αὐλητικοὺς καὶ θρηνητικοὺς νόμους. VΕΓΘ (II) ἄλλως: ξυναυλία λέγεται ὅταν κιθάρα καὶ αὐλὸς συμφωνῇ. νόμοι δὲ καλοῦνται οἱ εἰς θεοὺς ὕμνοι. Ὄλυμπος δὲ μαθητὴς γέγονε Μαρσύου, περὶ τὴν αὐλητικὴν ἄριστος, καὶ αὐτὸς δυστυχήσας διὰ μουσικήν. καθάπερ οὖν Ὄλυμπος εὗρε τὸ συναυλεῖν, καὶ ἡμεῖς ὅμοια καὶ ὥσπερ ἀπὸ μιᾶς φωνῆς ὀδυρώμεθα. μιμησώμεθα οὖν ἐν τῷ θρηνεῖν τὴν συναυλίαν Ὀλύμπου. VΕΓΘ

book 9b ὁ δὲ Ὄλυμπος αὐλητὴς γέγονεν καὶ αὐτὸς δυστυχήσας διὰ μουσικήν. μιμησώμεθα οὖν ἐν τῷ θρηνεῖν τὴν συναυλίαν Ὀλύμπου καὶ ὡς ἀπὸ μιᾶς φωνῆς ὀδυρώμεθα. R

book 9c ξυναυλίαν: ξυναυλία καλεῖται ὅταν δύο αὐληταὶ τὸ αὐτὸ αὐλῶσιν, ἢ ὅταν κιθάρα καὶ αὐλὸς συμφωνῇ. ὁ δὲ Ὄλυμπος δυστυχήσας διὰ τὴν μουσικὴν εὗρε τὸ συναλγεῖν. M

book 9d ξυναυλία καλεῖται ὅταν δύο αὐληταὶ συνᾴδωσιν, ἢ ὅταν κιθάρα καὶ αὐλὸς συμφωνῇ. Ὄλυμπος δὲ μαθητὴς γέγονε Μαρσύου, περὶ τὴν αὐλητικὴν ἄριστος. ἔγραψε δὲ αὐλητικοὺς καὶ θρηνητικοὺς νόμους, καὶ αὐτὸς δυστυχήσας διὰ μουσικήν. VatLh

book 9e ξυναυλίαν: κοινωνίαν, τουτέστιν ἀποδυρώμεθα ὁμόσε. VΕΓ2

book 9f ξυναυλίαν] ὁμαυλίαν. M

book 9g ξυναυλίαν] μίαν ᾠδὴν θρήνου. VatLh

book 9h Ὀλύμπου] μαθητὴς ἦν Μαρσύου. M

book 9i νόμον] κατὰ. Lh

book 9k totus versus] ἤγουν μιμησώμεθα θρηνοῦντες τὴν συναυλίαν Ὀλύμπου. VatLh

book 10a μὺ μῦ: ὁμοφωνοῦσιν ἀμφότεροι μύζοντες. τοῦτο δὲ ὡς θρηνητικόν. ἔστι δὲ ἴαμβος ἔχων τὸ μὲν πρῶτον βραχύ, τὸ δὲ δεύτερον μακρόν. VΕΓΘ

book 10b μὺ μῦ] μύζοντες τοῦτο λέγουσιν ὁμοφωνοῦντες ἀμφότεροι. τούτων τὸ μέν ἐστι βραχύ, τὸ δὲ δεύτερον μακρὸν διὰ τὸν ἴαμβον. VatLh

book 10c μὺ μῦ] ὡς θρηνοῦντες. R

book 11a τί κινυρόμεθ’ ἄλλως: τί δακρύομεν καὶ ὀδυρόμεθα εἰς κενὸν καὶ ἀνωφελές. ΓΘ

book 11b οὐκ ἐχρῆν: οὐκ ἔδει οὐδὲ δέον. ΓΘ

book 11c ζητεῖν: ἤγουν πολυπραγμονεῖν καὶ σκοπεῖν. ΕΓΘVatLh

book 11d

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐκ ἐχρῆν ζητεῖν τινα: ἡμεῖς δὲ ἀπαλλαγέντες τῶν δακρύων βουλευσώμεθα τίνα τρόπον ἀπαλλαγησόμεθα τῶν κακῶν. αὐτὸς γὰρ μέλλει τὴν τοῦ ἀποδρᾶναι γνώμην εἰσηγεῖσθαι. VΕΓΓ2Θ

book 11e τί κινυρόμεθ’ ἄλλως: τί θρηνοῦμεν καὶ ὀδυρόμεθα μάτην καὶ ἀνωφελές; ἐπεὶ αὐτὸς μέλλει τὴν τοῦ ἀποδρᾶναι γνώμην εἰσηγεῖσθαι. R

book 11f κινυρόμεθ’] θρηνοῦμεν. VΕΓ2ΜVatLh

book 11g ἄλλως] ματαίως. VΕΓ2

book 11h οὐκ ἐχρῆν] οὐκ ἔδει. Ε

book 11i οὐκ ἐχρῆν] περιττὸν τὸ οὔ. Μ

book 11k ἄλλως] μάτην. VatLh

book 12a totus versus] ἤγουν τίνα τρόπον ἀπαλλαγησόμεθα τῶν κακῶν τοῦ Κλέωνος. VatLh

book 12b νῷν] συνίζησις. VatLh

book 13a τίς οὖν γένοιτ’ ἂν λέγε σύ: τίς οὖν ἀφορμὴ γένοιτο λέγε σύ· πρὸς τὴν ἐπερώτησιν τοῦ ἑτέρου ὁ ἕτερος πάλιν ἀπεκρίνατο. ἑκάτερος δὲ εὐλαβῶς ἔχει τοῦ εἰπεῖν, διὰ τὸ φοβεῖσθαι δῆθεν τὸν Κλέωνα, καθ’ οὗ συντάττουσι τὴν ἐπιβουλήν. φιλονεικοῦσιν οὖν τίς πρῶτος εἴπῃ. VΕΓΘΜ

book 13b (I) σὺ μὲν οὖν μοι λέγε: ἀντὶ τοῦ, σὺ εἰπέ, ἵνα εἰπόντος σου μὴ ἀντιλέξω μηδὲ μαχήσωμαί σοι. RVΕΓΘΜ (II) ἢ οὕτως: σὺ λέγε, ἵνα μὴ εἴπω πρῶτος, καὶ φθονῶν ἀντείπῃς, κἀγώ σοι μάχωμαι. RVΕΓΘΜ

book 14a ἵνα μὴ μάχωμαι] ἵνα μὴ δι’ ὄχλου σοι γένωμαι. VatLh

book 14b οὔ] οὐ λέξω. VatLh

book 16a πῶς ἂν σύ μοι λέξειας ἁμὲ χρὴ λέγειν: ἅτινά με χρή, φησίν, εἰπεῖν, εἴθε ἤκουσα παρὰ σοῦ λεχθέντα. τοῦτο δὲ εἶπε διὰ τὸ φοβεῖσθαι λέγειν. RVΕΓΘ

book 16b totus versus] τοῦτο εἶπε διὰ τὸ φοβεῖσθαι λέγειν. Μ

book 16c totus versus] Εὐριπίδου. R

book 16d totus versus] φοβούμενος εἰπεῖν τι τοῦτο λέγει· οἷον εἴθε ἤκουσα παρὰ σοῦ ἃ μέλλω ἐρεῖν. VatLh

book 17a ἀλλ’ οὐκ ἔνι μοι τὸ θρέττε: ἀντὶ τοῦ θαρσαλέον. οὐδὲ τὸ τυχὸν ἔχω, φησί, περὶ τούτων εἰπεῖν. θρέττε δὲ βαρβαριστί, παρὰ τὸ θαρρεῖν, ἀντὶ τοῦ θρασὺ καὶ ἀνδρεῖον. οὐκ ἔστιν οὖν εἰπεῖν ὃ σὺ διανοῇ· ἠρνήσατο δὲ ἵνα εἰς ἀνάγκην τὸν ἕτερον καταστήσῃ πρότερον συνθέσθαι τι καὶ συμβουλεῦσαι. τὸ δὲ πῶς ἂν οὖν ποτε, ἀντὶ τοῦ οὐ θαρρῶ, φησίν, εἰπεῖν οὐδὲ τὸ τυχόν. βαρβαρίζει δὲ ὡς δοῦλος. VΕΓΘ

book 17b τὸ θρέττε] τὸ θαρσαλέον. R

book 17c θρέττε: ἀντὶ τοῦ θαρσαλέον· θρέττε γὰρ βαρβαρικῶς τὸ θαρρεῖν. βαρβαρίζει δὲ ὁ δοῦλος. Μ

book 17d τὸ θρέττε] τὸ θαρσαλέον, βαρβαριστί, παρὰ τὸ θαρρεῖν. βαρβαρίζει δὲ ὡς δοῦλος. VatLh

book 18a κομψευριπικῶς: ἀντὶ τοῦ εὐριπιδικῶς καὶ δεινῶς, οἷον πανούργως. κομψοὶ δὲ παρὰ τοῖς ἀρχαίοις ἐλέγοντο οἱ πανοῦργοι. φησὶν οὖν πῶς ἄν τις εἴποι περιεσταλμένως καὶ λεληθότως, οἱονεὶ μὴ φανερῶς. VΕΓ2

book 18b κομψευριπικῶς: πανούργως ὡς ὁ Εὐριπίδης. R

book 18c κομψευριπικῶς] πανούργως. Γ2

book 18d κομψευριπιδικῶς: ἀντὶ τοῦ εὐριπιδικῶς, δεινῶς, πανούργως. κομψοὶ δὲ παρὰ τοῖς ἀρχαίοις ἐλέγοντο οἱ πανοῦργοι. Μ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 18e κομψευριπιδικῶς] πανούργως, δεινῶς. M

book 18f κομψευριπικῶς] πανούργως, διὰ τὸ τὸν Εὐριπίδην τοιοῦτον εἶναι κομψὸν καὶ πιθανόν. VatLh

book 19a (I) μὴ διασκανδικίσῃς: διευριπιδίσῃς· ἡ γὰρ μήτηρ Εὐριπίδου σκάνδικας ἐπίπρασκεν, ὅ ἐστιν ἄγρια λάχανα. VEΓ2 (II) ἄλλως: μὴ ἀποδειλιάσῃς, μὴ μεταμελήσῃς. σκώπτει δὲ τὸν Εὐριπίδην ὡς λαχανοπώλιδος υἱόν· σκάνδιξ γὰρ εἶδος λαχάνου. VEΓ2

book 19b μὴ διασκανδικίσῃς: μὴ εὐριπιδίσῃς· σκώπτει τὸν Εὐριπίδην ὡς λαχανοπώλιδος υἱόν. R

book 19c μὴ εὐριπιδίσῃς· ἡ γὰρ μήτηρ αὐτοῦ σκάνδικας ἐπώλει, τουτέστιν ἄγρια λάχανα. σκώπτει δὲ τὸν Εὐριπίδην. M

book 19d διασκανδικίσῃς δίκην Εὐριπίδου εἴπῃς. σκάνδιξ γὰρ εἶδος λαχάνου ἀγρίου. ἡ δὲ μήτηρ Εὐριπίδου λαχανόπωλις. VatLh

book 20a ἀπόκινον: φυγήν, ἀποχώρησιν· ἔστι δὲ καὶ εἶδος ὀρχήσεως φορτικῆς ὡς ὁ βαυκισμός· οἱ δὲ μέλος. VEΓ2VatLh

book 20b ἀπόκινον] φυγήν. M

book 21a λέγε δὴ μόλωμεν: τινὲς τὸ “μόλωμεν” προπερισπῶσι. προσποιεῖται δὲ ὑποτίθεσθαι φεύγειν αὐτὸν καὶ λέγειν “αὐτομολήσωμεν πρὸς τοὺς Λακεδαιμονίους”, αὐτὸς παραιτούμενος λέγειν. αὐτομολῆσαι δέ ἐστι τὸ προδοῦναι τοὺς ἰδίους καὶ ἐᾶσαι καὶ ἀπελθεῖν πρὸς τοὺς ἐναντίους ἐπὶ συμμαχίᾳ. RVEΓΘM

book 21b τινὲς τὸ “μόλωμεν” προπερισπῶσι. προσποιεῖται δὲ ὑποτίθεσθαι φεύγειν αὐτὸν καὶ λέγειν “αὐτομολήσωμεν πρὸς τοὺς Λακεδαιμονίους”, αὐτὸς παραιτούμενος λέγειν. αὐτομολῆσαι δέ ἐστι τὸ καταλιπεῖν τοὺς ἰδίους ἐν πολέμῳ καὶ προσελθεῖν τοῖς ἐχθροῖς ἐπὶ συμμαχίᾳ. VatLh

book 22a ἐξόπισθε: κάτοπιν, τουτέστι πρότασσε τοῦ “μόλωμεν” τὸ “αὐτό”, εἶτα πάλιν τοῦ “αὐτὸ” 〈τὸ “μόλωμεν”〉. βούλεται δὲ λέγειν, “αὐτομολήσωμεν πρὸς τοὺς Λακεδαιμονίους”. αἰνιγματωδῶς καὶ μετὰ δισταγμοῦ λέγει, ποιῶν ἐκεῖνον συνάπτειν τὰς λοιπὰς αὐτῷ συλλαβάς. VEΓΘMVatLh

book 22b ἐξόπισθε] ἤγουν πρότασσε τοῦ “μόλωμεν” “αὐτό”, ἵνα γένηται “αὐτομόλωμεν”. VatLh

book 23 φάθι] ὁ μὲν Ἀπολλώνιος βαρύνει, ὁ δὲ Ἡρωδιανὸς ὀξύνει. VEΓ2VatLh

book 24a ὥσπερ δεφόμενος: ἀντὶ τοῦ ἀποδέρων τὸ αἰδοῖον. οἱ γὰρ ἁπτόμενοι τῶν αἰδοίων οὐχ ὡς ἤρξαντο, ἀλλὰ σπουδαιότερον κινοῦσι πρὸς τῇ τῆς γονῆς ἐκκρίσει. τοῦτο οὖν λέγει, ὅτι πρῶτον κατὰ μικρόν, εἶτα συνεχῶς λέγε. RVEΓ2M

book 24b δεφόμενος] ξυνουσιάζων, ἀποδέρων τὸ αἰδοῖον. M

book 24c δεφόμενος] ἤγουν τοῦ μορίου ἁπτόμενος. οἱ γὰρ ἁπτόμενοι τοῦ μορίου πρὸς ἔκκρισιν τῆς γονῆς οὐχ ὡς ἤρξαντο κινοῦσιν ἀλλὰ σπουδαιότερον, ἐκπυρούμενοι τῇ συνεχείᾳ τῆς κινήσεως. VatLh

book 26a αὐτὸ μόλωμεν αὐτομόλωμεν: ὡς ἐπιλαμβανόμενος αὐτοῦ τοῦτο λέγει. αὐτομολεῖν δὲ τὸ πρὸς τοὺς πολεμίους ἀπελθεῖν. VE

book 26b ἐπιλαμβανόμενος αὐτοῦ τοῦτο λέγει. M

book 26c μόλωμεν] ὡς ἐπιλαμβανόμενος αὐτοῦ εἶπε καὶ ποιεῖ τὸ προσταχθὲν καὶ συνεχῶς φησιν αὐτό· αὐτομολεῖν δὲ τὸ πρὸς τοὺς πολεμίους ἀπελθεῖν. Γ2

book 26d μόλωμεν] ὡς ἐπιλαμβανόμενος αὐτοῦ τοῦτο εἶπε. VatLh

book 26e ἣν] ἰδού. καὶ ἐν Πλούτῳ “ἣν μεθίεμεν”. καὶ παρὰ Θεοκρίτῳ “ἣν ἰδέ τοι τὸ δέπας· θᾶσαι φίλος”. Vat

book 27a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(I) ἦν οὐχ ἡδύ; ἰδού, ἐρωτηματικόν. λέγει δὲ οὐκ ἔστιν ἡδὺ τὸ αὐτομολήσωμεν; ἔθος δὲ ἦν καὶ τοὺς δούλους παρὰ τοὺς πολεμίους φεύγειν, εἰ πάσχοιέν τι κακὸν ὑπὸ τοῦ δεσπότου. τὸ δὲ φεύγειν αὐτομολεῖν λέγουσιν Ἀθηναῖοι. VΕΓΘΜ (II) ἄλλως: ὁ τὴν γνώμην λέγων ἐφίστησι τῷ λόγῳ αἰσθανόμενος τοῦ ῥήματος, ὡς ἐξηπατημένος καὶ παρακεκρουσμένος εἰπεῖν τὸ αὐτομολήσωμεν. VΕΓΓ2Θ (III) ἄλλως: μὴ οὐ καλόν, οὐ πρὸς ἡδονὴν ἀποδοκιμάσω σου τὴν συμβουλήν. VΕΓΘ

book 27b οὐχ ἡδύ;] ἤγουν οὐκ ἔστιν ἡδὺ τὸ αὐτομολῆσαι; VatLh

book 28 τὸν οἰωνόν] τὸ σημεῖον. VΕΓ2MVatLh

book 29a ὁτιὴ τὸ δέρμα τῶν δεφομένων ἀπέρχεται: ὅτι ὥσπερ τῶν δεφομένων τὸ δέρμα ἀπέρχεται, οὕτω καὶ τῶν αὐτομολούντων. RVΕΓΘΜ

book 29b δεφομένων] δερομένων. VΕΓ2

book 29c totus versus] τῶν ἀποδερομένων τὸ αἰδοῖον ὑποχωρεῖ ὄπισθεν. μή πως οὖν καὶ ἡμᾶς νοήσαντες Ἀθηναῖοι φεύγοντας κρατήσωσι καὶ ἀποδείρωσι. VatLh

book 30a κράτιστα] αἱρετώτερον, βέλτιον. VΕΓ2Μ

book 30b νῷϊν] συνίζησις. VatLh

book 31a πρὸς βρέτας: ἄγαλμα θεῶν. προσπεσεῖν δὲ ἱκέτας καθίσαι ἢ καταφυγεῖν. RVΕΓΘ

book 31b πρὸς βρέτας: πρὸς ἱερόν, πρὸς τέμενος ἢ πρὸς ἕδος ἢ πρὸς ἄγαλμα θεῶν. βρέτας δὲ εἴρηται ἀπὸ τοῦ βροτῷ ἐοικέναι αὐτό. τὸ δὲ ἐτεόν, ἀληθῶς οὕτω πεπίστευκας, οὕτω καταδέχῃ; VΕΓΘ

book 31c προσπεσεῖν] ἀντὶ τοῦ καθικετεῦσαι θεούς. VatLh

book 31d βρέτας] ἄγαλμα θεῶν, παρὰ τὸ βροτῷ ἐοικέναι. VatLh

book 32a βρεττέτας: ἐν παρολκῇ, παίζων. οὐ μόνον δὲ τῇ γλώττῃ προσέπαιξε, τῇ παρονομασίᾳ τοῦ βρέτας, ἀλλὰ καὶ φησὶν ὅτι εἰ μὴ ἦσαν θεοί, οὐκ ἂν ἤμην θεοῖς ἐχθρός. VΕΓΘ

book 32b φησὶν εἰ μὴ ἦσαν θεοί, οὐκ ἤμην θεοῖς ἐχθρός. R

book 32c ποῖον βρέτας: ἐν παρολκῇ, παίζων. οὐ μόνον δὲ τῇ γλώττῃ προσέπαιζε τῇ παρανομίᾳ τοῦ βρέτας (βρέτας γὰρ λέγεται τὸ ἀνθρωπόμορφον εἴδωλον ἀπὸ τοῦ βροτῷ ἐοικέναι), ἀλλὰ φησὶν ὅτι εἰ μὴ ἦσαν θεοὶ οὐκ ἂν ἤμην θεοῖς ἐχθρός. Μ

book 32d ἐτεὸν ἡγεῖ γὰρ θεούς;: ἀληθῶς οὕτω πεπίστευκας καὶ ὑπολαμβάνεις εἶναι θεούς; VΕΓ2Μ

book 32e ποῖον] κοινόν. VatLh

book 32f ἐτεὸν] ἀληθῶς. VatLh

book 32g ἡγῇ] νομίζεις. VatLh

book 33a τεκμηρίῳ] μαρτυρίῳ, παραδείγματι. VΕΓ2Μ

book 33b τεκμηρίῳ] παραδείγματι. Lh

book 34 totus versus] ἤγουν εἰ μὴ ἦσαν θεοί, οὐκ ἂν ἦν θεοῖς ἐχθρός. VatLh

book 35a εὖ προσβιβάζεις με: πείθεις, παραινεῖς. παίζει ὡς δοῦλος. R

book 35b προσβιβάζεις] πείθεις, παραινεῖς, ἢ στοχάζῃ. VΕΓ2

book 35c προσβιβάζεις] ἤγουν πείθεις, παράγεις με εἰς τοῦτο. VatLh

book 35d ἀλλ’ ἑτέρᾳ ποι σκεπτέον: ἀλλ’ ἑτέρῳ τρόπῳ δεῖ σκέψασθαι. VΕΓ2Μ

book 35e ἑτέρα: ἀλλαχῇ, ἕτερόν τι. R

book 35f ἑτέρᾳ] ἑτέρως. Lh

book 37a οὐ χεῖρον ἄν: βέλτιον. R

book 37b οὐ χεῖρον] ἀντὶ τοῦ βέλτιον, οὐκ ἄτοπον. VE

book 37c οὐ χεῖρον] οὐ κακὸν δηλονότι, ἀλλὰ βέλτιστόν ἐστι τὸ φράσαι ἡμᾶς τοῖς θεαταῖς καὶ οὐκ ἄτοπον. Γ2

book 37d οὐ χεῖρον] οὐκ ἄτοπον, βέλτιον δέ. M

book 37e οὐ χεῖρον] ἤγουν βέλτιον, ἀλλ’ οὐκ ἄτοπον. VatLh

book 37f παραιτησώμεθα: περιττὴ ἡ παρά· ἔστι γὰρ αἰτησώμεθα, παρακαλέσωμεν. πλεονάζουσι γὰρ καὶ ἐλλείπουσι ταῖς προθέσεσιν Ἀττικοί. VEΓΓ2Θ

book 37g παραιτησόμεθα: τὸ παρὰ περισσόν· πλεονάζουσι καὶ ἐλλείπουσι ταῖς προθέσεσιν Ἀττικοί. M

book 37h παραιτησόμεθα] παρακαλέσομεν. M

book 37i παραιτησώμεθα] περιττὴ ἡ παρά· πλεονάζουσι δὲ καὶ ἐλλείπουσι ταῖς προθέσεσιν Ἀττικοί. VatLh

book 38a ἐπίδηλον ἡμῖν: δεικνύειν, φησίν, ἡμῖν διὰ τῶν προσώπων εἰ χαίρουσι τοῖς λεγομένοις. RVEΓ2M

book 38b ἐπίδηλον] φανερόν. Γ2

book 38c totus versus] ἐκ γὰρ τοῦ προσώπου δηλοῦται ἡ τῆς ψυχῆς διάθεσις. VatLh

book 38d ποιεῖν] κοινή (super οι). VatLh

book 39a ἢν τοῖς ἔπεσι χαίρωσι: ἔπεσι τοῖς ποιήμασιν ἢ τοῖς λεγομένοις ἢ τοῖς ἰάμβοις· πᾶν γὰρ μέτρον ἔπος καλοῦσι· πράγμασι δὲ τοῖς ποιήμασι τοῖς λεγομένοις, ἅ εἰσι σκώμματα. VEΓΘM

book 39b ἢν τοῖς ἔπεσι χαίρωσι] ἐὰν χαίρωσι τοῖς λεγομένοις. Γ2

book 39c ἔπεσι] πᾶν μέτρον ἔπος καλοῦσι. VatLh

book 39d πράγμασιν] σκώμμασιν. Γ2

book 39e πράγμασιν] τοῖς σκώμμασιν ἢ τῇ τοῦ δράματος οἰκονομίᾳ. VatLh

book 39f —Vat

book 40a ὥσπερ τινὰ οἰκίαν κατασκευάζει τὴν πόλιν. δεσπότην δέ φησι τὸν δῆμον, οἰκέτας δὲ τοὺς προχειριζομένους ὑπ’ αὐτοῦ ὑπηρετεῖν αὐτῷ ἐν τῇ τῶν κοινῶν ἐπιμελείᾳ. ὑπηρέται γάρ τινες εἶναι δοκοῦσι τοῦ δήμου οἱ ἄρχοντες οἱ τῶν κοινῶν προϊστάμενοι. VatLh

book 40b νῷν] ἡμῖν. VatLh

book 41a ..........ησθιονιν..........ισιηοτικυα ..........πολλακισα..........

book 41b ἄγροικος ὀργήν: δύναται ἡ ὀργὴ νῦν ⟦ἑκάτερον δηλοῦν, καὶ⟧ κυρίως κεῖσθαι καὶ ἐπὶ τοῦ τρόπου. VEΓΘM

book 41c ἄγροικος: ἄγριος καὶ σκληρὸς καὶ ἀνήμερος καὶ τραχύς· ἢ ἀφελής. ἀκράχολος δέ, ἤγουν εἰς ὀργὴν πρόχειρος. VEΓΘ

book 41d τὸν τρόπον ἄγριος καὶ σκληρὸς καὶ ἀνήμερος. R

book 41e ἄγροικος ὀργήν] ἀκράτητος τὸν τρόπον. M

book 41f ὀργήν] τὸν τρόπον. VEΓ2VatLh

book 41g (I) κυαμοτρώξ: δικαστικός, κυάμους ἐσθίων. κυάμοις δὲ ἐχρῶντο οἱ δικασταὶ διὰ τὸ μὴ καθεύδειν ἢ ἀντὶ ψήφων. ἄλλοι δὲ διὰ τοῦ ς, κυαμοτρώς, ὁ κυάμοις δικάζων, ὁ τιτρώσκων. τούτοις γὰρ ἐχρῶντο ἀντὶ ψήφων. VEΓΘ (II) ἄλλως: τρεφόμενος ἀπὸ τῶν κυάμων. ἐπεὶ ἀντὶ ψήφων κυάμοις ἐχρῶντο ἐν ταῖς χειροτονίαις τῶν ἀρχόντων καὶ ἐν ταῖς ἐκκλησίαις. ὡς οὖν τῶν ψηφιζομένων ἀργύριον λαμβανόντων καὶ χειροτονούντων τοὺς διδόντας πλέον οὕτως ὠνόμασε τὸν δῆμον τὸν ἀπὸ τῶν κυάμων τρεφόμενον. VEΓΘ

book 41h

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κυαμοτρώξ: ὑπὸ τῶν κυάμων τρεφόμενος. πρὸ γὰρ τῆς εὑρέσεως τῶν ψήφων κυάμοις ἐχρῶντο ἐν ταῖς χειροτονίαις τῶν ἀρχόντων καὶ ἐν ταῖς ἐκκλησίαις· ὡς καὶ τῶν ψηφιζομένων ἀργύριον λαμβανόντων καὶ χειροτονούντων τοὺς διδόντας πλέον. ἀκράχολος δέ, εἰς ὀργὴν εὔκολος. R

book 41i κυαμοτρώξ: τρεφόμενος ὑπὸ τῶν κυάμων. πρὸ γὰρ τῆς εὑρέσεως τῶν ψήφων κυάμοις ἐχρῶντο. ἄλλοι δέ φασιν ὅτι κυάμους ἤσθιον. κυάμοις δὲ ἐχρῶντο διὰ τὸ μὴ καθεύδειν. ἔστι δὲ τὸ κυαμοτρὼξ ἀντὶ τοῦ φιλόδικος καὶ σκληρός. M

book 41k κυαμοτρώξ] φιλόδικος. VEΓ2VatLh

book 41l ἀκράχολος] μανιώδης, εἰς ὀργὴν εὔκολος. EΓ2MVatLh

book 41m κυαμοτρώξ] ὅτι κυάμοις ἐχρῶντο οἱ δικασταὶ διὰ τὸ μὴ καθεύδειν. οἱ δὲ κυάμοις φασὶν ἐχρῶντο ἀντὶ ψήφων. Vat

book 42a πυκνίτης: 〈πνὺξ〉 τόπος Ἀθήνησιν ἔνθα ἔστιν ὅτε ἐκκλησίαζον οἱ Ἀθηναῖοι. VEΓ4

book 42b πυκνίτης: πνὺξ τόπος ἐν Ἀθήναις ἔνθα ἡ ἐκκλησία συνεκροτεῖτο. τὸν δῆμον δὲ ὥσπερ πολίτην τῆς πυκνὸς εἶπε. πνὺξ δὲ λέγεται παρὰ τὸ πυκνοῦσθαι ἐκεῖ τοὺς βουλευτάς, ἢ ἀπὸ τοῦ πεπυκνῶσθαι ἐκεῖ τὰς καθέδρας. VEΓΘM

book 42c πνὺξ: τὸ ἐν Ἀθήναις δικαστήριον. R

book 42d πυκνίτης] ἐν τῇ πνυκὶ συναγόμενος. M

book 42e πνὺξ] τόπος Ἀθήνησιν ἐν ᾧ δικαστήριον ἦν. ἀπὸ τοῦ πυκνοῦσθαι ταῖς καθέδραις. VatLh

book 42f δύσκολον δὲ δυστράπελον. VEMVatLh

book 42g δύσκολον γερόντιον: πρεσβύτερον. αἰνίττεται δὲ διὰ τούτου ὁ ποιητὴς τὴν ἱστορίαν ὅτι πρῶτοί τε καὶ αὐτόχθονες οἱ Ἀθηναῖοι. VEΓΘM VatLh

book 42h γερόντιον: αἰνίττεται ὅτι πρωτογόνοι οἱ Ἀθηναῖοι. R

book 43a ὑπόκωφον δὲ εἶπεν τὸν δῆμον ὅτι οὐ πᾶσιν ἐπείθετο, ἀλλὰ προσεποιεῖτο μὴ ἀκούειν τῶν ἀπολογουμένων. VEΓΘ

book 43b ὑπόκωφον: ὅτι πολλάκις ἀκούων οὐ προσεποιεῖτο. R

book 43c ὑπόκωφον] ἐθελόκωφον. M

book 43d ὑπόκωφον] ὅτι προσεποιεῖτο μὴ ἀκούειν καὶ οὐκ ἐπείθετο πᾶσιν. VatLh

book 43e τῇ προτέρᾳ νουμηνίᾳ: τῇ παρελθούσῃ, τουτέστι νεωστί, ἵνα δείξῃ τὸν Κλέωνα οὐ πάλαι τῆς πολιτείας τετυχηκότα. ἐν δὲ ταῖς νουμηνίαις οἱ δοῦλοι ἐπωλοῦντο καὶ οἱ στρατηγοὶ ἐχειροτονοῦντο. RVEΓΘM

book 43f προτέρᾳ] ἵνα δείξῃ τὸν Κλέωνα οὐ πάλαι τῆς πολιτείας τετυχηκότα ἀλλὰ νεωστί. VatLh

book 43g ἐν ταῖς νουμηνίαις οἵ τε δοῦλοι ἐπωλοῦντο καὶ οἱ στρατηγοὶ ἐχειροτονοῦντο καὶ αἱ ἐκστρατεῖαι ἐγίνοντο. VatLh

book 44a ἐπρίατο] ὠνήσατο. Γ

book 44b δοῦλον] διὰ τὸ εἰπεῖν δεσπότην, καὶ τὸν Κλέωνα δοῦλον εἴρηκεν ἐωνημένον· οὐ γὰρ ἦν αὐτόχθων ἀλλὰ ξένος. VatLh

book 44c (I) βυρσοδέψην Παφλαγόνα: βυρσέα. συμβαίνει δὲ τούτους ἐκ τοῦ ἐμβρέχειν τὰ δέρματα, καὶ πλείοσιν ἐᾶν αὐτὰ ἡμέραις εἰς τὸ φάρμακον, ἵνα διαλάβοιεν, ἀπὸ τῆς ὀσμῆς τοῦ τε ὕδατος καὶ τῶν δερμάτων μολυνομένους ἄχαρι ὀδωδέναι. 〈διαβάλλει οὖν ὡς δύσοσμον〉 , ἄλλως τε καὶ τὴν εὐτέλειαν δείκνυσι τοῦ Κλέωνος, ἀφ' οἵας τύχης ὁρμώμενος ἐπρώτευσε τῶν Ἀθηναίων. VEΓΘM (II) 〈βυρσοδέψην〉 : ἐπειδὴ ὁ πατὴρ αὐτοῦ Κλεώνυμος ἐργαστήριον εἶχε δούλων βυρσοδεψῶν. VEΓΘM

book 44d βυρσοδέψην: διὰ τὸ ἐμβρέχειν τὰ δέρματα διαβάλλει ὡς δύσοσμον καὶ ἀφ’ οἵας τύχης ὁρμώμενον ἐπρώτευε τῶν Ἀθηναίων. R

book 46a καταγνοὺς: θεωρήσας. περιττὴ ἡ κατά, οἷον καταμαθών, καταισθόμενος. πρὸς ἔμφασιν δὲ πλείονα εἶπε τοῦ μαθών. VEΓ2

book 46b οὗτος καταγνοὺς τοῦ γέροντος τοὺς τρόπους: διενηνοχέναι φασὶ τὸ καταγνῶναι καὶ ἐπιγνῶναι ταύτῃ, ὅτι τὸ μὲν καταγνῶναι ἰδίως ἐπὶ διαβολῇ καὶ πονηρίᾳ λέγουσιν οἱ παλαιοί, τὸ δὲ ἐπιγνῶναι ἐπὶ τοῦ γνωρίσαι. γνῶναι δὲ χωρὶς τῆς κατά προθέσεως, τὸ μαθεῖν. καταγνοὺς οὖν οἷον καταμαθών, καταισθόμενος. VEΓΘ

book 46c καταγνοὺς: ἐπὶ διαβολῇ καὶ πονηρίᾳ οἱ παλαιοί. χωρὶς τῆς κατά, γνῶναι τὸ μαθεῖν. R

book 46d οὗτος καταγνοὺς: παίζει ὧδε. διαφέρει δὲ τὸ καταγνῶναι τοῦ ἐπιγνῶναι, ὅτι τὸ μὲν καταγνῶναι ἰδίως ἐπὶ διαβολῇ καὶ πονηρίᾳ λέγεται, τὸ δὲ ἐπιγνῶναι ἐπὶ τοῦ νοῆσαι. M

book 46e καταγνοὺς] κατ’ ἐπίτασιν ἡ κατά. Γ2

book 46f καταγνοὺς] οἷον καταμαθών. δι’ ἐπίτασιν δὲ ἡ κατά. τὸ καταγνῶναι δὲ ἰδίως ἐπὶ διαβολῇ καὶ πονηρίᾳ λέγουσι, τὸ δὲ ἐπιγνῶναι ἐπὶ τοῦ γνωρίσαι. VatLh

book 47a ὁ βυρσοπαφλαγών: συνέμιξε τὸ γένος καὶ τὴν τέχνην, ἵνα τὸ πλέον ὀνειδίσῃ, προσθήκης ἑκατέρου γενομένου θατέρου. VEΓΘ

book 47b ὁ βυρσοπαφλαγών: τὸ γένος καὶ τὴν τέχνην συνέμιξεν ἵνα πλέον σκώψῃ. M

book 47c βυρσοπαφλαγών] συνέμιξε τὸ γένος αὐτοῦ καὶ τὴν τέχνην, ἵνα πλέον ὀνειδίσῃ. δείκνυσι δὲ τὴν εὐτέλειαν τοῦ Κλέωνος, ἀφ’ οἵας τύχης ὁρμώμενος προέστη τῶν Ἀθηναίων. ὁ γὰρ πατὴρ αὐτοῦ Κλεώνυμος ἐργαστήριον εἶχε δούλων βυρσοδεψῶν. VatLh

book 47d ὑποπεσών] ὑποδραμών, ὑπελθών. VEΓ2

book 47e ὑποπεσών] ὑποδραμών, λαθραίως ὑπελθών. VatLh

book 48a ᾔκαλλ’: αἰκάλλειν ἐστὶ τὸ τὸν κύνα τοῖς ὠσὶ καὶ τῇ οὐρᾷ σαίνειν τοὺς ἠθάδας· ἢ ἀπὸ μεταφορᾶς τῶν ἀλεκτρυόνων. κάλλαια γὰρ καλεῖται τούτων τὰ γένεια. πολλαὶ δὲ αἱ λέξεις, ἀλλὰ τὸ σημαινόμενον ἕν. ἐκολάκευε γάρ. VEΓΘVatLh

book 48b ἐκολάκευ’] κατεπράϋνε. EΓ4VatLh

book 49a (I) κοσκυλματίοις: τοῖς περικεκομμένοις καὶ ἀπορριφεῖσι δέρμασι. βούλεται δὲ λέγειν λογαρίοις αἱμύλοις. τὸ δὲ πᾶν αὐτῷ νόημα ὅτι λόγοις ἐξηπάτα τὸν δῆμον, δοκοῦσι μὲν ὠφέλειάν τινα ἔχειν, βλάπτουσι δὲ τὰ μέγιστα. VEΓ2Θ (II) ἄλλως: κοσκύλματα καλοῦνται τὰ περιττά, τὰ περιτεμνόμενα ἀπὸ τῶν καττυματίων. κοσκυλματίοις οὖν λέγει εὐτελέσι ῥήμασιν ἢ πράγμασιν. VEΓ2Θ

book 49b κοσκύλματα: τὰ παρακεκομμένα καὶ ἀπορριφέντα δέρματα. M

book 49c ἤγουν λογαρίοις αἱμύλοις, τουτέστι λόγοις ἐξηπάτα τὸν δῆμον δοκοῦσι μὲν ὠφέλειάν τινα ἔχειν, βλάπτουσι δὲ τὰ μάλιστα· ἢ ἐξηπάτα εὐτελέσι τισι ῥήμασιν ἢ πράγμασιν. ἡ μεταφορὰ ἀπὸ τῶν καττυμάτων τῶν οὐδενὸς ὄντων ἀξίων. Vat

book 49d κοσκυλματίοις] κολακεύμασι. EΓ4

book 49e κοσκυλματίοις] λεπτολογίαις, παραλογισμοῖς, λόγοις θωπευτικοῖς. M

book 49f κοσκυλματίοις] ἤτοι κολακεύμασιν. εἴρηται δὲ ἀπὸ τῶν δερματίων. κοσκυλμάτια γάρ εἰσι τὰ περιτεμνόμενα περιττὰ τμήματα ἀπὸ τῶν δερματίων. VatLh

book 50a (I) ἐκδικάσας μίαν: ἀντὶ τοῦ δικάσας, ὡσεὶ ἔλεγε γυμνασθείς· ταῦτα δὲ εἰώθασι τοῖς τρυφῶσιν οἱ κόλακες λέγειν. τοῦτο, φησί, κολακεύων ἔλεγε τὸν Δῆμον. λείπει δὲ ἡμέραν, ἵν’ ᾖ, μίαν ἡμέραν

ἐάσας ἀδίκαστον. VΕΓΘ (II) ἄλλως: ἀντὶ τοῦ δικάσας. μίαν δὲ ἐπειδὴ καὶ δύο ἐνίοτε καὶ πλείω οἱ αὐτοὶ ἐδίκαζον. Θ

book 50b μίαν] τοῦτο, φησί, κολακεύων ἔλεγε τῷ Δήμῳ. λείπει δὲ ἡμέραν, ἵν' ᾖ, μίαν ἡμέραν ἐάσας ἀδίκαστον. VatLh

book 51a ἔνθου: ἐπὶ τοῦ ψωμοῦ καὶ τοῦ ἀκόλου οὕτω λεκτέον, καὶ ὅλως τοῦ φαγεῖν. VΕΓΘ

book 51b ἔντραγ': οὕτως 〈Ἀττικοὶ〉 τὸ ἀκρατίζειν. καὶ Μένανδρος “παλαιὸν ἐντραγεῖν”. ὁ γὰρ οἰκέτης ἐστί, βαρύτερον τὴν πρὸς τοὺς δοκοῦντας εἶναι ποιούμενος τρυφήν , παρονειδίζων ὅτι τοσαῦτα ἀποστέλλεται οὐκ ἐπὶ δεῖπνον, ἀλλ' ἀκρατισμόν. VΕΓ2ΘΜ

book 51c τριώβολον: τὸν δικαστικὸν μισθόν, ἐπεὶ τριώβολον ἐλάμβανον. VΕΓ2Μ

book 51d ἔχε τριώβολον: ὡς τοσούτου ὄντος τοῦ δικαστικοῦ νῦν καὶ τοῦ ἐκκλησιαστικοῦ. οὐχ ὁμοίως δὲ οὐδὲ τὸ αὐτὸ διώριστο, ἀλλὰ κατὰ διαφόρους καιροὺς διάφορος ἦν καὶ ὁ μισθός. R

book 51e ἔνθου ἀπὸ τοῦ θῶ, τὸ εὐωχοῦμαι. ὁ μέλλων θώσω. τὸ ἔνθω ἀφ' οὗ οἱ Δωριεῖς θωρεῖσθαι λέγουσι τὸ εὐωχεῖσθαι. καὶ ἀλλαχοῦ ἔνθεσιν οὗτος ἔλεγε τὴν τροφήν. τὸ ἐντραγεῖν δὲ ἐπὶ τοῦ ἀκρατισμοῦ λέγεται. καὶ Μένανδρος “παλαιὸν ἐντραγεῖν”. VatLh

book 51f ἔνθου] φάγε. VΕΓ2VatLh

book 51g ἔνθου] χαῖρε. Μ

book 51h ἔνθου] καὶ ἐπὶ ὅλου τοῦ φαγεῖν τοῦτο λεκτέον, οὐ μόνον ἐπὶ ψωμοῦ. Vat

book 51i ῥόφησον] πίε. VΕΓ2ΜVatLh

book 51k ἔντραγ'] τραγήματα φάγε. VΕΓ2VatLh

book 51l ἔντραγ'] ἀκράτισον, φάγε. Μ

book 51m τριώβολον] τὸν δικαστικὸν μισθόν· τριώβολον γὰρ ἐλάμβανον. VatLh

book 52a δόρπον] τὸ ἑσπερινὸν φαγεῖν. VΕΓ2VatLh

book 52b δόρπον] τὸ ἐν ἑσπέρᾳ φαγεῖν. Μ

book 54a καὶ πρώην γ' ἐμοῦ] καὶ πρὸ ὀλίγου ἐμοῦ. V

book 54b πρώην] πρὸ ὀλίγου. ΕΓ2VatLh

book 54c κεχάρισται] εἰς χάριν δίδωσι. VatLh

book 55a (I) μᾶζαν μεμαχότος: μᾶζαν λέγει τὰ πεφυρμένα ἄλευρα. ὡς ἐπὶ τροφῆς δὲ τὸ κατόρθωμα εἶπεν. RVΕΓΘΜ [para](II) ἄλλως: τοῦτο ἀφ' ἱστορίας τέθεικεν, ἧς μέμνηται καὶ Θουκυδίδης. ἔχει δὲ οὕτως. Δημοσθένης στρατηγὸς Ἀθηναίων, ἀποσταλεὶς εἰς Σικελίαν διὰ τὸν αὐτόθι πόλεμον, παραπλέων τὴν Πύλον καὶ τὴν Σφακτηρίαν δυνάμει προλαβών, τριακοσίους εἴληφεν αἰχμαλώτους, καὶ ἐδήλωσεν Ἀθηναίοις, .... τί βούλονται περὶ τούτων γενέσθαι. ἄλλων δὲ ἄλλα λεγόντων Κλέων ἀναστὰς ἐπηγγείλατο ἡμερῶν ἀριθμὸν προσθείς, εἴσω ἐκείνων ἄξειν αὐτούς, ὡς γέλωτα πολὺν κατ' αὐτοῦ γενέσθαι, ἀγαγὼν δὲ αὐτοὺς ὡς ἰδίαν πρᾶξιν κατορθώσας ἐπεσεμνύνετο. VΕΓΘΜ (III) ἄλλως: ἐν τῇ Πύλῳ: τόπος δὲ οὗτος τῆς Λακωνικῆς στενός, διείργων καὶ ἀποχωρίζων τὰς ἀπὸ τῆς Θεσσαλίας καὶ Λακεδαιμονίας εἰσβολάς. ἔνθα καὶ Λεωνίδας πρότερον τῶν Μακεδόνων βασιλεὺς ἅμα τῶν Σπαρτιατῶν ἀντέστη Ξέρξῃ τῷ τῶν Περσῶν βασιλεῖ, καὶ πολλοὺς τῶν Περσῶν ἀποκτείνας, ἀριστεύων

book 55a ἐτελεύτησε, κυκλωθεὶς ἐκ προδοσίας, Ἐφιάλτου τινὸς δείξαντος τοῖς Πέρσαις διὰ τῶν ὀρῶν ὁδόν. VΕΓΘ (IV) ἐνταῦθα οὖν ὁ Δημοσθένης ἀπόβασιν ποιησάμενος σὺν ὀλίγοις, ἐξετείχισε τὸ χωρίον καὶ κατέστησε φρούριον. βοηθησάντων δὲ τῶν Λακεδαιμονίων διὰ τάχους Βρασίδου στρατηγοῦντος, αὐτός τε ὁ Βρασίδας ἀπέβαλε τὴν ἀσπίδα καὶ πολλοὶ τῶν Λακεδαιμονίων ἀπέθανον ἐν τῇ μάχῃ. ἔνιοι δὲ κατέφυγον καταπονούμενοι εἰς τὴν καταντικρὺ νησίδα τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Σφακτηρίαν. καὶ αὐτὸς ὁ Δημοσθένης μετεπέμψατο ἀπὸ τῶν Ἀθηναίων, ὡς ἂν πλείονι δυνάμει χρησάμενος τοὺς ἄνδρας ἐκπολιορκοίη. ὁ οὖν Κλέων, γνοὺς ὅτι ὑπὸ τῆς ἀνάγκης καὶ λιμοῦ καὶ δίψους οὐχ οἷοί τε ἔσονται πλείοσιν ἀντέχειν ἡμέραις, ἐπεὶ καὶ τοῦτο ἤγγελλον οἱ ἀπὸ τοῦ στρατοπέδου ἀφικνούμενοι, παρελθὼν εἰς τὸν δῆμον, εἰ

book 55a λάβοι δύναμιν, ὡς αἰτεῖ Δημοσθένης, κατεπηγγείλατο ἐντὸς εἴκοσιν ἡμερῶν παραστήσειν τοὺς πολιορκουμένους. καὶ οὕτως ἐκπλεύσας καὶ τοὺς Λακεδαιμονίους λαβών, ἔδοξεν αὐτοῖς κατορθοῦν τὸ τοῦ Δημοσθένους ὁ Κλέων. ἐπειράθη γὰρ ὑφαρπάσαι τὸ τέλος τῶν ἐκείνου πόνων. VEΓΘ

book 55b ἡ περὶ τῆς Πύλου ἱστορία: ὁ Κλέων ἔδοξεν κατορθοῦν πλέον Δημοσθένους ὑφαρπάσας τὸ τέλος τῶν ἐκείνου πόνων. στρατηγὸς γὰρ ὢν Ἀθηναίων ὁ Δημοσθένης ἀποσταλεὶς εἰς Σικελίαν διὰ τὸν αὐτόθι πόλεμον, πολλοὶ τῶν Λακεδαιμονίων ἀπέθανον ἐν τῇ μάχῃ. ἔνιοι καταπονούμενοι κατέφυγον εἰς Φακτηρίαν (τόπος δὲ οὗτος τῆς Λακωνικῆς στενός), οὓς καταστήσας εἰς πολιορκίαν μετεπέμψατο στρατιὰν ἀπὸ τῶν Ἀθηναίων. ὁ οὖν Κλέων γνοὺς αὐτοὺς ὑπὸ λιμοῦ καὶ δίψης μὴ οἵους τε ὄντας ἀντέχειν ἐπηγγείλατο, εἰ λάβοι δύναμιν ἣν αἰτεῖ Δημοσθένης, ἐντὸς εἴκοσιν ἡμερῶν ἀναστῆσαι τοὺς πολιορκουμένους. ἐκπλεύσας οὖν αὐτοὺς ἔλαβεν. R

book 55c ἱστορία ὅπως παρεστήσατο τὴν Πύλον Κλέων: ἡ περὶ τῆς Πύλου ἱστορία, ἧς καὶ Θουκυδίδης μέμνηται, ἔχει οὕτως. Δημοσθένης στρατηγὸς Ἀθηναίων κατὰ Λακεδαιμονίων ἐκστρατευσάμενος καὶ τοὺς μὲν ἑλών, τοὺς δὲ καταφυγόντας εἰς Πύλον πολιορκῶν, οὐκ ἠδυνήθη παραχρῆμα ἑλεῖν· πέμψας οὖν πρὸς Ἀθηναίους πλείονα δύναμιν ᾔτει ὥστε αὐτοὺς παραστήσασθαι· ἄλλων δὲ ἄλλα λεγόντων Κλέων πανουργότατος ὢν καὶ γνοὺς ὅτι ὑπὸ τῆς πολιορκίας καὶ τοῦ λιμοῦ καὶ τῆς δίψης οὐχ οἷοί τ’ ἔσονται πολλαῖς ἀντέχειν ἡμέραις (ἐλέγετο γὰρ καὶ τοῦτο παρὰ τῶν ὑπὸ Δημοσθένους ἀποσταλέντων), παρελθὼν εἰς τὸν δῆμον ἐπηγγείλατο ἐντὸς ἡμερῶν εἴκοσι παραστήσεσθαι τοὺς πολιορκουμένους εἰ λάβοι τὴν δύναμιν ἣν Δημοσθένης αἰτεῖ. προχειρισθεὶς οὖν στρατηγὸς καὶ ἀπελθὼν μετὰ πλείονος δυνάμεως παρεστήσατο Πύλον καὶ τοὺς ἐκεῖ Λακεδαιμονίους εἷλε καὶ ἔδοξεν εὐδοκιμηκέναι, τὸ τέλος ὑφαρπάσας τῶν πόνων τοῦ Δημοσθένους. μέμνηται δὲ καὶ ἐν Νεφέλαις ταύτης τῆς ἱστορίας λέγων “τοῖς ἐκ Πύλου ληφθεῖσι τοῖς Λακωνικοῖς”. VatLh

book 55d μεμαχότος] φυράσαντος. Γ2

book 55e μᾶζαν μεμαχότος] τὰ πεφυρμένα ἄλευρα μαλάξαντος καὶ ἀρτοποιήσαντος· ὡς ἐπὶ τροφῆς δὲ τὸ κατόρθωμα τὸ ἐν Πύλῳ εἶπεν. VatLh

book 56a πανουργότατα] λίαν πανούργως. Γ2

book 56b περιδραμὼν] ἀπατήσας, περιελθών. Γ2

book 56c περιδραμὼν] ὑποδραμὼν τὸν Δῆμον. VatLh

book 56d ὑφαρπάσας] κρυφίως λαβών. VatLh

book 57a μεμαγμένην: παρεσκευασμένην καὶ ἐν ἑτοίμῳ γενομένην. VEΓ3M

book 57b παρέθηκε] αὐτῷ εἰς βρῶσιν. VatLh

book 57c μεμαγμένην] κατεσκευασμένην. VatLh

book 58a ἀπελαύνει] ἀποδιώκει, ἀποσοβεῖ. VEΓ3VatLh

book 58b κοὐκ ἐᾷ] τοῦτο πρὸς τὸ ἄλλον σύναπτε. VatLh

book 59a ἀλλὰ βυρσίνην ἔχων: ἀπὸ τοῦ μυρσίνην. βυρσίνη δὲ ῥυτὴρ ἢ ἱμάς. ἔπαιξε δὲ παρὰ τὸ βυρσοδέψην εἶναι τὸν Κλέωνα, ἐναλλαγὴν στοιχείου ἐργασάμενος. ἔδει γὰρ εἰπεῖν μυρσίνην ἔχων ἀποσοβεῖ τὰς μυίας. ταύτῃ γὰρ ἐστεφανοῦντο οἱ στρατηγοί. βυρσίνην δέ, εἶπεν, ἔχων ἀποσοβεῖ τοὺς ῥήτορας, ὡς πρὸς βυρσοδέψην. VEΓΘ

book 59b ἀλλὰ βυρσίνην ἔχων: ἔπαιξε δὲ παρὰ τὸ βυρσοδέψην εἶναι τὸν Κλέωνα. ἔδει γὰρ εἰπεῖν μυρσίνην. παραγραμματισμῷ οὖν ἐχρήσατο, ἀντὶ τοῦ μ τῷ β. ταῖς γὰρ μυρσίναις ἀποσοβοῦσι τὰς μυίας. ὁ δὲ τοὺς ῥήτορας εἶπεν. RM

book 59c βυρσίνην] ἔδει εἰπεῖν μυρρίνην ἔχων ἀποσοβεῖ τὰς μυίας· ταύτῃ γὰρ ἐστεφανοῦντο οἱ στρατηγοί· ὁ δὲ ἐναλλαγὴν ποιησάμενος τῶν στοιχείων, βυρσίνην, εἶπεν, ἔχων ἀποσοβεῖ τοὺς ῥήτορας. παρὰ τὸ βυρσοδέψην εἶναι τὸν Κλέωνα. VatLh

book 59d βυρσίνην] δέον μυρρίνην. VatLh

book 60a δειπνοῦντος] δικάζοντος. VatLh

book 60b τοὺς ῥήτορας] δέον εἰπεῖν τὰς μυίας. VEΓ3VatLh

book 61a εἶθ’ ὁ γέρων σιβυλλιᾷ: περὶ τὸν χρόνον τοῦτον ταραχώδη ὄντα εἰκὸς πολλὰ τοιαῦτα γίγνεσθαι. σιβυλλιᾷ δέ, χρησμῶν ἐρᾷ καὶ ἐπιθυμεῖ· ἢ παραληρεῖ, ἐπειδὴ ἡ Σίβυλλα μακρόβιος· ἢ τοῖς χρησμοῖς ἥδεται· ἢ ἀπατᾶται· ἢ μαντικῶς ἔχει, χρησμοὺς φαντάζεται· χρησμολόγος γὰρ Ἐρυθραία ἦν ἡ Σίβυλλα· ἢ μέγα φρονεῖ καὶ ἐπαίρεται. VEΓΘ

book 61b χρησμολόγος γὰρ ἡ Σίβυλλα. σιβυλλιᾷ, χρησμῶν ἐρᾷ, ἢ μέγα φρονεῖ καὶ ἐπαίρεται. R

book 61c σιβυλλιᾷ: χρησμῶν ἐρᾷ ἢ παραληρεῖ, ἐπειδὴ ἡ Σίβυλλα μακρόβιος· ἢ τοῖς χρησμοῖς ἥδεται· ἢ ἀπατᾶται· ἢ μέγα φρονεῖ καὶ ἐπαίρεται· ἢ ὑπὸ τῶν χρησμῶν ἐνθουσιᾷ· ἡ Σίβυλλα γὰρ χρησμῳδὸς ἦν. M

book 61d γέρων] ὁ δεσπότης, τουτέστιν ὁ δῆμος. RVEΓ4MVatLh

book 61e σιβυλλιᾷ] χρησμῶν ἐρᾷ, ἤγουν ἀπατᾶται. Γ2

book 61f σιβυλλιᾷ] χρησμῶν ἐρᾷ· χρησμολόγος γὰρ ἡ Ἐρυθραία Σίβυλλα. VatLh

book 62a (I) μεμακκοακότα: τὰ Μακκοῦς φρονοῦντα, ἀνοηταίνοντα. Μακκὼ γὰρ καὶ Λαμὼ ἐγένοντο ἐνεαί, τουτέστι βαρέως νοοῦσαι. RVEΓΘVatLh (II) ἢ παραφρονοῦντα, ληροῦντα. γέγονε παρὰ τὸ μάταια κοεῖν, ὅ ἐστι νοεῖν. ὅθεν θυοσκόος, παρὰ τὸ θύω καὶ τὸ κοῶ, ὃ σημαίνει τὸ νοῶ. VEΓΘVatLh

book 62b μεμακοότα: τὰ μακρὰ φρονοῦντα. γέγονε δὲ παρὰ τοῦ μάταια φρονεῖν. τοῦτο γὰρ τὸ κοεῖν, ἤτοι τὸ νοεῖν. μωρὰ γὰρ ἡ Μακκὼ ἦν. ὅθεν καὶ θυοσκόος, ἀπὸ τοῦ θύω καὶ τοῦ κοῶ, ὃ δηλοῖ τὸ νοῶ. M

book 63a (I) ἄντικρυς: προδήλως, ὁμολογουμένως. ηὔξησε δὲ τὴν ἀναίδειαν διὰ τοῦ φανερῶς καταψεύδεσθαι. VEΓΘMVat (II) ἄλλως: φανερῶς· δεῖγμα δὲ ὑπερβαλλούσης ἀναισχυντίας τὸ φανερῶς καταψεύδεσθαι. REΓΘ

book 63b τέχνην πεποίηται: ἀντὶ τοῦ μηχανήν, ἢ ἀντὶ τοῦ εἰς ἔργον αὐτῷ καὶ τέχνην προκεχώρηκεν. VEΓΓ3ΘVatLh

book 63c τέχνην] μηχανήν. M

book 63d ἄντικρυς] φανερῶς. EΓ3Lh

book 64 μαστιγούμεθα] ὡς οἰκέται μαστιγούμεθα. VEΓ3Vat

book 65 περιθέων] περιερχόμενος. VatLh

book 66a δωροδοκεῖ: δῶρα λαμβάνει καὶ διασείει. τίθεται δὲ ἡ λέξις καὶ ἐπὶ τοῦ διδόντος. RVEΓΘM

book 66b δωροδοκεῖ] δῶρα δέχεται. VEΓ3

book 66c δωροδοκεῖ] δῶρα λαμβάνει· τίθεται γὰρ καὶ ἐπὶ τοῦ διδόντος ἡ λέξις καὶ ἐπὶ τοῦ λαμβάνοντος. VatLh

book 67 Ὕλαν] ὡς ὄνομα οἰκέτου πέπλακεν. RVEΓ2MVatLh

book 68a (I) εἰ μή μ’ ἀναπείσετ’: ἀντὶ τοῦ ἀναπείσετε χρήμασι. διαβάλλει δὲ αὐτὸν ὡς δωροδοκούμενον καὶ προδιδόντα τὴν πόλιν. RVΕΓΘ (II) ἄλλως: εἰ μὴ πιστὸν ποιήσετε· τουτέστιν εἰ μὴ μισθόν τινά μοι δώσετε. VΕΓΘ

book 68b ἀναπείσετε] ἤγουν ἐν δώροις· διαβάλλει αὐτὸν ὡς δωροδόκον. M

book 68c ἀναπείσετε] χρήμασιν. διαβάλλει δὲ αὐτὸν ὡς δωροδοκοῦντα καὶ προδιδόντα τὴν πόλιν. VatLh

book 69 πατούμενοι] ὑβριζόμενοι, θλιβόμενοι. VΕΓ2VatLh

book 70a ὀκταπλάσιον χέζομεν: πολλῷ πλείονα, ἵν’ ᾖ τὸ νοούμενον ὅτι μικροῖς λήμμασιν ἀποδίδονται τῆς πόλεως τὰ πράγματα, ἀφ’ ὧν ὠφέλεια μείζων ἐδύνατο γίγνεσθαι τῇ πόλει. VΕΓΘΜ

book 70b παίζει ἐνταῦθα εἰπὼν ὀκταπλάσιον ἀντὶ τοῦ πολλῷ πλέον, ἵν’ ᾖ τὸ νοούμενον ὅτι λήμμασιν ἀποδίδονται τῆς πόλεως τὰ πράγματα, ἀφ’ ὧν ὠφέλεια μείζων ἐδύνατο γενέσθαι τῇ πόλει. VatLh

book 70c χέζομεν] ζημιούμεθα. RVΕΓ2VatLh

book 71a ἀνύσαντε: ἀντὶ τοῦ ἅπαξ εἰς τοῦτο γενόμενοι. R

book 71b ἀνύσαντες] ταχύναντες. VΕΓ2VatLh

book 71c ἀνύσαντες] σπεύσαντες. VatLh

book 71d φροντίσωμεν] τοῦ αὐτομολῆσαι καὶ χωρῆσαι πρὸς τοὺς πολεμίους. VΕΓ4

book 72a νὼ] ἡμᾶς. ΕΓ2VatLh

book 72b τρεπτέον] πορευτέον. RΕΓ4VatLh

book 72c τρεπτέον] ἄξιον τράπεσθαι. Γ2

book 72d —Vat

book 73a κράτιστ’ ἐκείνην: ἄμεινον ἐπὶ τὸ αὐτομολήσωμεν, τουτέστι χωρῆσαι πρὸς τοὺς ἐναντίους. VΕΓ3

book 73b βέλτιον τὸ αὐτομολῆσαι καὶ χωρῆσαι πρὸς τοὺς πολεμίους. R

book 73c κράτιστ’ ἐκείνην] ἄμεινον πρὸς ἐκείνην. VatLh

book 73d τὴν μόλωμεν] τὸ αὐτομολῆσαι πρὸς τοὺς πολεμίους. VatLh

book 74 οὐχ οἷόν τε] οὐ δυνατόν. VΕΓ3

book 76a τὸ δ’ ἕτερον: πάλιν τῆς Πύλου μέμνηται, ἐπεὶ ὁ Κλέων ἐν αὐτῇ συνεχῶς ἠλαζονεύετο. ὡς ἄλλο μηδ’ ὁτιοῦν κατορθώσαντος αὐτοῦ, ἀλλὰ πένητος ὄντος τοῖς κατορθώμασιν. R

book 76b τῇ ἐκκλησίᾳ] συνίζησις. VatLh

book 77 διαβεβηκότος] ἀντὶ τοῦ διεσχηκότος. R

book 78a (I) ἐν Χάοσι: Θρᾴκης ἔθνος οἱ Χάονες. παρέλαβε δὲ τὸ ὄνομα, ἵνα τὸ κεχηνέναι δηλώσῃ. Χάονες δὲ δῆμος τῶν Θεσπρωτῶν ἢ βάρβαρον ἔθνος. VΕΓΘΜ (II) ἄλλως: οἱ μὲν τῆς Ἠπείρου, οἱ δὲ τῆς Θρᾴκης τοὺς Χάονας. ἅμα δὲ τοὺς εὐρυπρώκτους διασύρει, διὰ τὸ χαίνειν τὸν πρωκτόν. VΕΓΘ

book 78b ὡς εὐρύπρωκτον διαβάλλει. παρὰ τὸ κεχηνέναι Χάοσιν εἶπεν. Θρᾴκης δὲ ἔθνος οἱ Χάονες. R

book 78c ἔθνος Θρᾴκης οἱ Χάονες. παρέλαβε δὲ τὸ ὄνομα ἵνα τὸ κεχηνὸς τοῦ Κλέωνος δηλώσῃ περὶ τὰ χρήματα. διασύρει δὲ καὶ τοὺς εὐρυπρώκτους διὰ τὸ χαίνειν τὸν πρωκτόν. VatLh

book 78d ἐν Χάοσι] ἔθνος Θρᾴκης οἱ Χάονες. VatLh

book 79a τὼ χεῖρ’ ἐν Αἰτωλοῖς: ἀπὸ τοῦ πράγματος τὸ ὄνομα λέγει· οὐκ ἐν Αἰτωλίᾳ, ἀλλ’ ἐν τῷ αἰτεῖν. τὸ δ’ ἐν Κλωπιδῶν ἐναλλαγὴ πάλιν στοιχείου, τοῦ ρ εἰς τὸ λ. Κρωπίδαι γὰρ δῆμος τῆς Λεοντίδος φυλῆς. ἔπαιξεν οὖν παρὰ τὸ κλέπτειν. VΕΓΘΜVatLh

book 79b ἀπὸ τοῦ ὀνόματος τὸ πρᾶγμα λέγει· οὐκ ἐν Αἰτωλίᾳ, ἀλλ’ ἐν τῷ αἰτεῖν. R

book 79c παρὰ τὸ κλέπτειν· εἰσὶ δὲ Κεκροπίδαι δῆμος· τὸ λ ἀντὶ τοῦ ρ παρεγραμμάτευσεν. R

book 79d ἐν Αἰτωλοῖς] ἤγουν ἐν τῷ αἰτεῖν. VatLh

book 79e Κλωπιδῶν] παρὰ τὸ κλέπτειν. VEΓ4

book 79f ἐν Κλωπιδῶν] ἐν τῷ κλέπτειν. VatLh

book 79g —Vat

book 80 σκόπει] σκέπτου, διανοοῦ. VEΓ3VatLh

book 83 αἶμα ταύρειον: δηλητήριον λέγεται τὸ αἷμα τοῦ ταύρου πινόμενον. REΓ3MVatLh

book 84a ..μιστοκλ’. Θεμιστοκ...............φυγαδεύθη καὶ παρεγένετο εἰς τ.......σων χώραν κ................ρα Περσῶν καὶ ἐστρατεύσατο ἐπ................ακιεντησισα ............ησεν ἑαυτὸν τοῦ βίου αἷμα τ......................υσαθη .............. πρὸς τοὺς εὐεργέτ..

book 84b (I) ὁ Θεμιστοκλέους γὰρ θάνατος αἱρετώτερος: Θεμιστοκλῆς ὁ καταναυμαχήσας ἐν τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ τοὺς βαρβάρους, εἶθ’ ὕστερον φυγαδευθεὶς ὑπὸ τῶν Ἀθηναίων ἐπὶ προδοσίας αἰτίᾳ ψευδεῖ, κατέφυγε πρὸς Ἀρταξέρξην τὸν Ξέρξου παῖδα. καὶ τιμηθεὶς τὰ μέγιστα παρ’ αὐτῷ, ὡς καὶ τρεῖς πόλεις εἰς ὄψον καὶ ἄρτον καὶ οἶνον λαβεῖν, Μαγνησίαν, Μυοῦντα, Λάμψακον, ἐπηγγείλατο αὐτῷ καταδουλώσασθαι τὴν Ἑλλάδα, δύναμιν εἰ λάβοι. παραγενόμενος δὲ ἅμα τῷ στρατεύματι εἰς Μαγνησίαν καὶ καταγνοὺς ἑαυτοῦ, εἰ δι’ αὐτοῦ σωθέντες οἱ Ἕλληνες εἶτα δι’ αὐτοῦ δουλεύσουσι βαρβάροις, προφάσει χρησάμενος ὡς θυσίαν ἐπιτελέσαι βούλοιτο καὶ ἱερουργῆσαι τῇ Λευκόφρυϊ Ἀρτέμιδι καλουμένῃ, τῷ ταύρῳ ὑποθεὶς τὴν φιάλην καὶ ὑποδεξάμενος τὸ αἷμα, χανδὸν πιὼν ἐτελεύτησεν εὐθέως. οἱ δέ φασιν ὅτι συνειδὼς ὁ Θεμιστοκλῆς ὅτι οὐχ οἷός τ’ ἦν διαπράξασθαι τῷ βασιλεῖ ἅπερ ἐπηγγείλατο, οὕτως ἐπὶ τὴν τοῦ θανάτου αἵρεσιν παρεγένετο. τοῦτον οὖν τὸν τρόπον βέλτιον εἶναί φασι καὶ αὐτοὺς ἀποθανεῖν, κατὰ ζῆλον τοῦ Θεμιστοκλέους. διαβάλλει δὲ

book 84b τοὺς Ἀθηναίους ὡς κακοὺς πρὸς τοὺς εὐεργέτας. RVEΓΘM (II) ἄλλως: μετὰ τὴν Ξέρξου φυγὴν Λακεδαιμόνιοι προδοσίας κρίνουσι καὶ φονεύουσι Παυσανίαν τὸν ἴδιον βασιλέα, Κλεομβρότου καὶ Ἀλκαθέας υἱόν. ἐγκότως δὲ διακείμενοι πρὸς Θεμιστοκλέα διὰ τὸν τειχισμὸν τῆς Ἀττικῆς, μεταστέλλονται αὐτὸν εἰς κρίσιν, φάσκοντες Παυσανίαν ὡμολογηκέναι καὶ αὐτὸν κοινωνεῖν τῇ προδοσίᾳ. Ἀθηναίων δὲ βουλομένων ἀποστέλλειν αὐτόν, φυγὼν ἧκε πρὸς Ἀρταξέρξην. καὶ Μηδικὴν φωνὴν μαθὼν ἐδίδαξεν αὐτὸν πῶς ἔσωσε τὸν πατέρα Ξέρξην μὴ συγχωρήσας τοῖς Ἕλλησι διαλῦσαι τὰ ἐπὶ Σηστοῦ καὶ Ἀβύδου διαζεύγματα. ἐφ’ οἷς εὐχαριστήσας ὁ βασιλεὺς δωρεῖται αὐτῷ τρεῖς πόλεις, Μαγνησίαν εἰς σῖτον, Λάμψακον εἰς οἶνον, Μυοῦντα εἰς ὄψα, ὡς δὲ Νεάνθης, καὶ Περκώτην εἰς στρωμνὴν καὶ Παλαίσκηψιν εἰς στολήν. στρατὸν δὲ παραλαβὼν ἀπ’ αὐτοῦ ἐπὶ πορθήσει τῆς Ἑλλάδος περὶ τὴν Ἰωνίαν ἐν Μαγνησίᾳ γενόμενος, θύων, ὡς εἴρηται ἄνω, τελευτᾷ, καὶ κατὰ θάνατον τὸν μισοβάρβαρον ἐνδεικνύμενος τρόπον. λοιμωξάντων δὲ Ἀθηναίων, ὁ θεὸς εἶπε μετάγειν τὰ ὀστᾶ Θεμιστοκλέους. Μαγνήτων δὲ μὴ συγχωρούντων,

book 84b ᾐτήσαντο ἐπὶ τριάκοντα ἡμέραις ἐναγίσαι τῷ τάφῳ. καὶ περισκηνώσαντες τὸ χωρίον λάθρα κομίζουσιν ἀνορύξαντες τὰ ὀστᾶ. Σύμμαχος δέ φησι ψεύδεσθαι περὶ Θεμιστοκλέους. οὔτε γὰρ Ἡρόδοτος οὔτε Θουκυδίδης ἱστορεῖ. ἔστι γοῦν ἀπὸ Σοφοκλέους Ἑλένης “ἐμοὶ δὲ λῷστον αἷμα ταύρειον πιεῖν, καὶ μὴ ’πὶ πλεῖον τῶνδ’ ἔχειν δυσφημίας.” τινὲς δέ φασιν ὅτι Σοφοκλῆς περὶ Θεμιστοκλέους τοῦτό φησι. ψεύδονται δέ· οὐ γάρ ἐστι πιθανόν. VEΓΘ

book 84c ἱστορία ὅπως ἀπέθανε Θεμιστοκλῆς. Θεμιστοκλῆς ὁ καταναυμαχήσας ἐν τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ Ξέρξην καὶ τοὺς σὺν αὐτῷ βαρβάρους, ψευδῶς ἐπὶ προδοσίᾳ διαβληθεὶς ὑπ’ Ἀθηναίων φυγὼν πρὸς Ἀρταξέρξην τὸν Ξέρξου παῖδα καὶ διδάξας αὐτὸν ὅπως ἔσωσε τὸν

πατέρα αὐτοῦ Ξέρξην μὴ συγχωρήσας τοῖς Ἕλλησι διαλῦσαι τὰ ἐπὶ Σηστοῦ καὶ Ἀβύδου διαζεύγματα οὕτως ἐτιμήθη παρ’ αὐτοῦ μεγαλοπρεπῶς, ὡς καὶ τρεῖς πόλεις λαβεῖν, Μαγνησίαν μὲν εἰς σῖτον, Λάμψακον δὲ εἰς οἶνον, Μυοῦντα δὲ εἰς ὄψα· ὡς δὲ Κλεάνθης φησί, καὶ Περκώτην εἰς στρωμνὴν καὶ τὴν Παλαίσκηψιν εἰς στολήν. οὕτω δὲ φιλοτίμως προσδεχθεὶς ἐπηγγείλατο αὐτῷ καταδουλώσασθαι τὴν Ἑλλάδα εἰ λάβοι δύναμιν. παραγενόμενος οὖν ἅμα τῷ στρατηγῷ εἰς Μαγνησίαν καὶ καταγνοὺς ἑαυτοῦ, εἰ τοὺς δι’ αὐτὸν σωθέντας Ἕλληνας δούλους τοῖς βαρβάροις καταστήσειεν, προφάσει χρησάμενος ὡς θυσίαν ἐπιτελέσαι βούλοιτο τῇ Λευκοφρυΐδι Ἀρτέμιδι καλουμένῃ, τῷ ταύρῳ ὑποθεὶς τὴν φιάλην, καὶ ὑποδεξάμενος τὸ αἷμα, χανδὸν πιὼν ἐτελεύτησεν εὐθέως· οἱ δέ φασιν ὅτι συνειδὼς ὡς οὐχ

book 84c οἷός τ’ ἦν διαπράξασθαι ὅπερ ἐπηγγείλατο, τὸν θάνατον προὔκρινε. φησὶ γοῦν καὶ οὗτος ὡς βέλτιον καὶ ἡμᾶς ἀποθανεῖν κατὰ ζῆλον Θεμιστοκλέους. διαβάλλει δὲ Ἀθηναίους ὡς κακοὺς πρὸς τοὺς εὐεργέτας. VatLh

book 84d Θεμιστοκλέους] καὶ οὗτος γὰρ ταύρου αἷμα πιὼν ἀπέθανεν. VatLh

book 85a (I) ἀγαθοῦ δαίμονος: αἰρομένης τῆς τραπέζης μετὰ τὸ δεῖπνον ἄκρατος περιεφέρετο καὶ ἐκαλεῖτο ἀγαθοῦ δαίμονος. RVEΓ3ΘMVatLh (II) ἄλλως: τὸ πρῶτον ποτήριον ἀγαθοῦ δαίμονος ἔπινον, τουτέστιν ἀγαθοῦ θεοῦ. εὐφημεῖ δὲ τὸν Διόνυσον, ὡς πάτριον θεόν, ἐπειδὴ καὶ ἐν τῇ τοῦ Διονύσου ἑορτῇ, τουτέστι τοῖς Διονυσίοις, ἠγωνίζοντο οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταί. RVEΓΘ

book 85b ἄλλοι δέ φασιν ὡς πρὸ τοῦ γεύματος πρῶτον πινόμενον ἄκρατον ἀγαθοῦ δαίμονος ἐκάλουν. M

book 86 χρηστόν] ἀγαθόν, συμφέρον. RVEΓ3

book 87 περὶ ποτοῦ γάρ ἐστί σοι] οὐκ ἐν τούτῳ, φησί, νῦν ἡμῖν τὰ πράγματα. VEΓ3VatLh

book 89a ἄληθες οὗτος: προπαροξυτόνως ἀναγνωστέον. αὕτη γὰρ ἡ χρῆσις τῶν Ἀττικῶν, ὅτε σημαίνει τὸ ἀληθῶς 〈λέγεις;〉, ὅτε δὲ ὀξύνεται, τὸ ὄνομα. VEΓΘVatLh

book 89b κρουνοχυτρολήραιον εἶ: ἀντὶ τοῦ φλυαρὸς εἶ· κρουνὸς γὰρ τὸ χύδην καὶ ἀκρίτως καὶ ἀθρόως ῥέον· λῆρος δὲ τὸ μάταιον. συνέθηκεν οὖν ἀπὸ τοῦ κρουνοῦ καὶ τοῦ ληρεῖν καὶ τῆς χύτρας, ἀναισθήτου οὔσης, ἵνα τὸ ὅλον δηλώσῃ τὸν ἀναίσθητον καὶ ἀνόητον καὶ περιττολόγον. RVEΓΘMVat

book 89c κρουνοχυτρολήραιον] ἤγουν φλυαρός. VatLh

book 91a (I) οἴνου γὰρ εὕροις ἄν τι: Ὁμηρικὸν τὸ νόημα· “ἀνδρὶ δὲ κεκμηῶτι μένος μέγα οἶνος ἀέξει”. Ἡρόδοτος δὲ τοὺς Πέρσας τοῦτον τὸν τρόπον βουλεύεσθαί φησιν. εἰ μὲν οὖν εἰσηγήσαιντό τινα νήφοντες, βουλεύεσθαι περὶ τούτων ἐν μέθῃ καὶ κυροῦν, εἰ δὲ εἰσηγήσαιντο ἐν μέθῃ τοῦτο κυροῦν, νήφοντες δὲ ἐπικυροῦν. RVEΓΘM (II) ἄλλως: Ἡρόδοτός φησι μέλλοντας τοὺς Πέρσας βουλεύεσθαι μεθύειν. VEΓΘ

book 91b Ὁμηρικὸν τὸ νόημα· “ἀνδρὶ δὲ κεκμηότι μένος μέγα οἶνος ἀέξει”. καὶ Ἡρόδοτος μέλλοντάς φησι τοὺς Πέρσας βουλεύεσθαι μεθύειν· καὶ ὅτι εἰ μὲν εἰσηγήσαιντό τι νήφοντες, βουλεύεσθαί τι περὶ τούτων ἐν μέθῃ καὶ κυροῦν· εἰ δὲ εἰσηγήσαιντο ἐν μέθῃ, τοῦτο κυροῦν νήφοντες. Vat

book 91c πρακτικώτερον: ἐξεργαστικώτερον. RVEΓ3

book 91d πρακτικώτερον] ἀναγκαιότερον. M

book 92 ὁρᾷς ὅταν πίνωσιν: ὅρα τὸν Ἀριστοφάνην, ἀρχόμενον γὰρ σκέμματος, μεθύσκεσθαι, ἵνα μὴ νήφων δειλιάσῃ κωμῳδεῖν μεγάλους ἄνδρας. VEΓΘVatLh

book 93a διαπράττουσι] εὖ πράττουσι.

book 93b διαπράττουσι] εὐτυχοῦσι. VΓ2MVatLh

book 93c totus versus] μεθύοντες ταῦτα ἐπαγγέλλονται. ΕΓ4VatLh

book 95 (I) οἴνου χοᾶ: χοῦς μέτρον Ἀττικὸν χωροῦν κοτύλας ὀκτώ. RVΕΓΘΜVatLh (II) ἔστι δὲ καὶ ἑορτὴ Ἀθήνησιν οἱ Χόες. κέκληται δὲ ἀπὸ τοιαύτης αἰτίας. Ὀρέστης μετὰ τὴν τῆς μητρὸς ἀναίρεσιν ἦλθεν εἰς τὰς Ἀθήνας παρὰ τὸν Πανδίονα, συγγενῆ καθεστηκότα, ὃς ἔτυχε τότε βασιλεύων τῶν Ἀθηναίων. κατέλαβε δὲ αὐτὸν εὐωχίαν τινὰ δημοτελῆ ποιοῦντα. ὁ τοίνυν Πανδίων παραπέμψασθαι μὲν τὸν Ὀρέστην αἰδούμενος, κοινωνῆσαι δὲ ποτοῦ καὶ τραπέζης ἀσεβὲς ἡγούμενος μὴ καθαρθέντος αὐτοῦ τὸν φόνον, ὡς ἂν μὴ ἀπὸ τοῦ αὐτοῦ κρατῆρος πίνοιεν, ἕνα ἑκάστῳ τῶν κεκλημένων παρέθηκε χοῦν. RVΕΓΘΜ VatLh

book 96a δεξιόν] συμφέρον. VatLh

book 96b —Vat

book 97a οἴμοι: ἀντὶ τοῦ τίνος ἡμῖν κακοῦ αἴτιος ἔσῃ; RVΕΓΓ3ΘVatLh

book 97b ἐργάσῃ] ἀπεργάσῃ, διαθήσῃ. VΕΓ3

book 97c τῷ σῷ ποτῷ;] ἐν. Lh

book 98a κατακλινήσομαι] κατακλινὴς ἔσομαι. R

book 98b κατακλινήσομαι] κατακείσομαι. Γ3VatLh

book 99a καταπάσω] καταποικιλῶ. R

book 99b καταπάσω] πληρώσω, γεμίσω. VΕΓ2VatLh

book 99c καταπάσω] ἐμπρήσω. Μ

book 100a νοϊδίων: διανοημάτων λεπτῶν καὶ μεμεριμνημένων. οὐ γὰρ ἐν ὑποκορισμῷ εἴρηκεν. παρήγαγε δὲ ἀπὸ τοῦ πληθυντικοῦ τοῦ οἱ νοῖ τὸ νοΐδιον ὑποκοριστικόν· τινὲς δέ, ὀνειδισμῶν καὶ λοιδοριῶν ⟦ἀπὸ τοῦ οἴνου καὶ τῆς μέθησ⟧, κακῶς. VΕΓΘ

book 100b βουλευματίων: διανοημάτων λεπτῶν καὶ μεμεριμνημένων. τὸ νοΐδιον ὑποκοριστικόν· παρήγαγε δὲ ἀπὸ τοῦ πληθυντικοῦ τοῦ οἱ νοῖ. R

book 100c οἷον ἀπὸ τοῦ οἴνου τὸ νοΐδιον ὑποκοριστικῶς. τινές φασιν ὅτι ἀπὸ τοῦ οἴνου παρῆκται καὶ τῆς μέθης, κακῶς. τινὲς δὲ οὕτως, ὀνειδισμῶν καὶ λοιδορισμῶν. Μ

book 100d γνωμιδίων] ἐνθυμημάτων. Μ

book 100e νοϊδίων] νοημάτων λεπτῶν. Μ

book 100f νοϊδίων] λεπτῶν καὶ μεμεριμνημένων διανοημάτων. VatLh

book 101 ὅτ’] ἐπεί. VatLh

book 102 τί δρᾷ] τί ποιεῖ. VΕΓ3

book 103a (I) ἐπίπαστα: τὰ ἐπιπασσόμενα τῷ ἔτνει ἄλευρα. ἔτνος δὲ ἣν ἀθάραν ἔλεγον καὶ τὸ πίσινον ἕψημα. τὰ δὲ ἄλφιτα δημοσίᾳ πιπράσκεται. VΕΓΘΜ (II) ἄλλως: ἔθος εἶχον ποιεῖν πλακοῦντας ἢ ἄρτους καὶ ἐπιπάσσειν τινὰ καρυκεύματα ἁλμυρά, καὶ διὰ τοῦτο ἔφη τὰ ἐπίπαστα. VΕΓΘΜ

book 103b (I) δημιόπραθ’: τὰ δημοσίᾳ πιπρασκόμενα ἐκ δημεύσεως, ὡς δημευομένων διὰ Κλέωνα 〈τῶν〉 οὐσιῶν· ἢ δημιόπρατα ἔμιξεν ὡς ἐκ δημοσίου πράγματα αὐτοῦ κλέψαντος. VΕΓΘ (II) ἄλλως: τὰ τὸν δῆμον ἐξωνούμενα. τῷ γὰρ λέγειν τῷ δήμῳ κεχαρισμένα ὠνεῖτο τοῖς τοιούτοις λόγοις τὴν παρ’ αὐτοῦ εὔνοιαν. VΕΓΘ

book 103c ἐπίπαστα: τὰ ἐπιπασσόμενα μέλιτι ἄλφιτα. δημιόπρατα δὲ τὰ δημοσίᾳ πιπρασκόμενα ἐκ δημεύσεως διὰ Κλέωνα. R

book 103d δημιόπρατα: δήμευσις λέγεται ἡ τῶν πραγμάτων ἀφαίρεσις· ἢ τὰ δημοσίᾳ πιπρασκόμενα. Μ

book 103e ἐπίπαστα] γλυκύσματα. Μ

book 103f ἐπίπαστα] τὰ ἐπιπασσόμενα τῷ ἔτνει ἄλευρα. VatLh

book 103g ἔθος εἶχον ποιεῖν πλακοῦντας καὶ ἄρτους καὶ ἐπιπάσσειν τινὰ καρυκεύματα. διὰ τοῦτο οὖν ἔφη ἐπίπαστα. δημιόπρατα δὲ λέγει τὰ δημοσίᾳ πιπρασκόμενα. διαβάλλει δὲ αὐτὸν διὰ τῆς λέξεως ὡς τὰ δημόσια ἐσθίοντα, ἢ ὡς καὶ τὰ ἐν ἀγορᾷ κείμενα ἀποδεκατοῦντα. VatLh

book 103h βάσκανος] νῦν τὸν διάβολον δηλοῖ καὶ φθονερόν. VEΓ3VatLh

book 104a ῥέγκει: διὰ τοῦ κ. συμβαίνει δὲ μάλιστα τοῦτο πάσχειν τοὺς μεθύοντας ἢ τοὺς ὑπτίως ἀνακειμένους, ὥσπερ καὶ αὐτὸς ἐδήλωσεν ἐν ταῖς ἑξῆς λέξεσιν, εἰπὼν “ἐν ταῖς βύρσαις ὕπτιος”. ῥέγκει οὖν ἀντὶ τοῦ ποιὸν ἦχον ἀποτελεῖ τῇ ῥινί. VEΓΘM

book 104b ῥέγκει] ποιὸν ἦχον ἐκτελεῖ τῇ ῥινί, ὅπερ πάσχουσιν οἱ μεθύοντες καὶ οἱ ὑπτίως ἀνακείμενοι. VatLh

book 105a ἐγκάναξον: ἔγχεε, ἐκκένωσον. λέγεται δὲ ἐπὶ τῶν ἀθρόως πινόντων. VEΓΘM

book 105b ἐγκάναξον: προσένεγκε, ἔκχεον. R

book 105c ἐγκάναξον] ἔγχεε. Γ2

book 105d ἐγκάναξον] ἐπίχεον, παρὰ τὸ κανοῦν. οἱ δὲ ἐπὶ θορύβου τάττουσι τοῦτο παρὰ τὴν καναχήν, ἤγουν μετὰ ψόφου ἔγχεον. VatLh

book 105e νυν] δή. VatLh

book 107a (I) τοῦ Πραμνίου: τοῦ προσηνοῦς, ἤτοι ἀπὸ τῆς Πραμνίας ἀμπέλου, ἢ ἀπὸ τοῦ πραΰνειν τὸ μένος, ἢ διὰ τὸ πολυχρόνιον παραμένειν, ἢ ἐν Πραμνίᾳ πέτρᾳ γινομένου, ἣ πρὸς τὴν Θρᾴκην ἐστίν. VEΓΘM (II) ἄλλως: δέον εἰπεῖν τὴν τοῦ δαίμονος τοῦ ἀγαθοῦ εἶπε Πραμνίου, ἐπειδὴ ὁ Πράμνιος οἶνος πολυτίμητός ἐστιν. ἢ παρὰ τὸ 〈παραμένειν, τουτέστιν〉 ἐμμένειν καὶ μὴ ἀφεστάναι τὸν πίνοντα. VEΓΓ3ΘM

book 107b δέον εἰπεῖν τοῦ ἀγαθοῦ δαίμονος εἶπε Πραμνίου, ἐπειδὴ ὁ Πράμνιος οἶνος πολὺ τιμιώτατός ἐστι. Πραμνία δὲ χώρα ἐν Θρᾴκῃ. VatLh

book 107c τοῦ Πραμνίου] τοῦ προσηνοῦς, ἀπὸ τοῦ πραΰνειν τὸ μένος. VatLh

book 107d τὴν] τὴν κύλικα δηλονότι. EΓ2VatLh

book 108a ὦ δαῖμον ἀγαθέ: ὡς ἐμπνευσθεὶς καὶ ἤδη πεπωκὼς τοῦτο λέγει. ΓΘ

book 108b ὦ δαῖμον ἀγαθέ] ὡς ἐνθυμηθείς φησιν, ὡς ἐμπνευσθεὶς καὶ ἤδη πεπωκώς. EVatLh

book 108c ὦ δαῖμον ἀγαθέ: τοῦτο εἶπεν ὡς πιὼν καὶ εὑρών τι· πρὸς γὰρ τὸν οἶνον λέγει. R

book 109 χρησμούς: τὸ βιβλίον τῶν χρησμῶν. REΓ2VatLh

book 111 ταῦτ’] διὰ. M

book 112 δέδοιχ’ ὅπως: δέδοικα, φησί, μὴ διὰ τὸν δαίμονα τὸν ἀγαθὸν τύχω τοῦ κακοδαίμονος. RVEΓΘMVatLh

book 113a φέρε νῦν ἐγὼ ’μαυτῷ: μόνος γενόμενος καὶ μηκέτι κωλυόμενος ὑφ’ ἑτέρου ἀδεέστερον πίνει, ἕως ἐκεῖνος ἐκφέρει τοὺς χρησμούς. RVEΓΘM

book 113b μόνος γενόμενος καὶ μηκέτι κωλυόμενος ὑφ’ ἑτέρου ἀδεέστερον βούλεται πίνειν. διὸ προσάγω, φησίν, ἐμαυτῷ τὸν χοᾶ ἕως ἐκεῖνος ἐκφέρει τοὺς χρησμούς. VatLh

book 113c νυν] δή. VatLh

book 114a ἄρδω: ἀντὶ τοῦ ποτίσω· τὴν δὲ τροπὴν ἔλαβεν ἀπὸ τῶν φυτῶν. RVEΓΘM

book 114b ἄρδω] ποτίσω, ἐκ μεταφορᾶς τῶν φυτῶν. VatLh

book 114c δεξιόν] ἀγαθόν, συμφέρον, ὠφέλιμον. VEΓ3

book 114d

δεξιόν] συμφέρον. VatLh

book 115a ῥέγκεται καὶ πέρδεται: ὁμοιοκατάληκτον εἶπε τὸ ῥέγκεται. οὐ γάρ ἐστι δόκιμον οὕτω λέγειν. VΕΓΘΜ

book 115b ῥέγκεται] ῥέγκει· ὁμοιοκατάληκτον δὲ μόνον τοῦτο εἴρηκεν· οὐ γάρ ἐστι δόκιμον. VatLh

book 115c ῥέγκεται] Ἀττικόν· ῥέγκει. ΕΓ2

book 116a τὸν ἱερὸν χρησμὸν: 〈ὡσ〉 δύο χρησμῶν δοθέντων τῷ Κλέωνι, φυλάσσοντος δὲ τοῦτον μάλιστα ὑπὲρ τοῦ μὴ ἔκπυστον αὐτὸν γενέσθαι. τοῦτο οὖν λέγει ὡς καὶ ἄλλους αὐτοῦ ἔχοντος. VΕΓΘΜ

book 116b τὸν ἱερὸν χρησμὸν] τοῦτο λέγει ὡς καὶ ἄλλους χρησμοὺς ἔχοντος. VatLh

book 117a ὅνπερ μάλιστα: ὡς καὶ ἄλλους αὐτοῦ ἔχοντος. R

book 117b σοφώτατε] καὶ τοὺς κλέπτας σοφοὺς ἔλεγον. R

book 117c σοφώτατε κλέπτα] περιττὸν τὸ κλέπτα· καὶ τοὺς κλέπτας σοφοὺς ἔλεγον. M

book 117d σοφώτατε] ὅτι τοὺς κλέπτας σοφωτάτους ἔλεγον. VΕΓ2

book 117e σοφώτατε] φρονιμώτατε, ἐπιτηδειότατε· ἢ ὅτι τοὺς κλέπτας σοφωτάτους ἔλεγον. VatLh

book 119a ἀνύσας τι: διαπραξάμενος, σπουδάσας. RVΕΓΓ3ΘΜ

book 119b ἀνύσας] σπεύσας. Γ2VatLh

book 119c (I) φέρ’ ἴδω: καταμάθω καὶ κατανοήσω καὶ ἐπισκέψωμαι τί ποτε γέγραπται ἢ τί ποτε ὁ χρησμὸς λέγει. VΕΓΘΜ (II) αὐτόθι δέ, τουτέστιν ἐν τῷ βιβλίῳ ἢ ἐν τῷ χρησμῷ. RVΕΓΘΜ

book 119d αὐτόθι] ἤγουν ἐν τῷ χρησμῷ. Γ2

book 119e αὐτόθι] ἐν τῷ βιβλίῳ. VatLh

book 120a ὦ λόγια: μαντεύματα. θαυμάζει δὲ τὸν χρησμὸν ἀναγνούς. RVΕΓΘΜVatLh

book 120b δός μοι] ἀποστρέφεται πρὸς τὸν Νικίαν. Γ2

book 121a ἰδοὺ] ἀντὶ τοῦ λαβέ, κράτει. RVΕΓ3

book 121b ἑτέραν] κύλικα. VatLh

book 122 ἐν τοῖς λογίοις] ἐν τοῖς μαντεύμασι. VΕΓ3

book 123a ὦ Βάκι: τρεῖς Βάκιδες ἐγένοντο. οὗτος μὲν Ἀττικὸς καὶ μάντις, ὁ δὲ Βοιωτός, ὁ δὲ Λοκρός. VΕΓΘΜ

book 123b Βάκις χρησμολόγος Ἀττικός· καὶ ἕτερος Βοιωτικός, ἄλλος Ἀρκάς. R

book 123c τρεῖς ἐγένοντο Βάκιδες, ὁ μὲν Ἀττικός, ὃς ἦν καὶ μάντις· διὸ καὶ ἐπιβοᾶται τοῦτον ἰδὼν τὸν χρησμόν· ὁ δὲ Βοιωτός, ὁ δὲ Λοκρός. VatLh

book 124 πολλῷ γ’ ὁ Βάκις ἐχρῆτο: ἀντὶ τοῦ πολλὰ ἔπινεν. RVΕΓ2VatLh

book 125a Παφλαγὼν] Κλέων. VatLh

book 125b ταῦτ’ ἄρ’ ἐφυλάττου] ἀντὶ τοῦ διὰ ταῦτα δεδοικὼς ἀπεκρύπτου καὶ ἐτήρεις. R

book 125c ταῦτα] διὰ. ΕΓ2Μ

book 125d ἐφυλάττου] ἐδεδίεις, ἀπεκρύπτου. ΕΓ3

book 125e ἐφυλάττου] ἐκρύπτου. VatLh

book 126a ὀρρωδῶν: φοβούμενος, εὐλαβούμενος, ἀπὸ τοῦ τὸν ὄρρον τῶν δειλῶν ἰδίειν. τὸ δὲ ἑξῆς, ταῦτ’ ἄρ’ ὀρρωδῶν ἐφυλάττου πάλαι τὸν περὶ σεαυτοῦ χρησμόν. VΕΓΘΜ

book 126b φοβούμενος, εὐλαβούμενος, ἐπειδὴ συμβαίνει τοῖς φοβουμένοις τὸν ὄρρον, τουτέστι τὸν πρωκτόν, ἱδροῦν. R

book 126c ὀρρωδῶν] φοβούμενος· ἀπὸ τοῦ τὸν ὄρρον τῶν φοβουμένων ἰδίειν. VatLh

book 128 ἄντικρυς] φανερῶς, διαρρήδην. RVEΓ2VatLh

book 129a στυππειοπώλης: ὁ τὰ στυππεῖα πωλῶν, τουτέστι καννάβινα, λίνα. δηλοῖ δὲ τὸν Εὐκράτη καὶ τὴν ἐπ' αὐτοῦ πολιτείαν· ὃς στύππαξ ἐκαλεῖτο, διὰ τὸ στυππειοπώλης εἶναι, ὡς καὶ ἐν ἑτέροις. RVEΓΘΜ

book 129b στυππειοπώλης] ὁ τὰ στυππεῖα πωλῶν Κράτης, ὃς καὶ στύππαξ ἐκαλεῖτο διὰ τοῦτο. VatLh

book 130 ἕξει τῆς πόλεως τὰ πράγματα: ἀντὶ τοῦ καθέξει, διοικήσει καὶ διαχειρίσει. RVEΓΓ2ΘVatLh

book 131a εἷς οὑτοσὶ πώλης: ἔπαιξε τοῖς ὀνόμασι· παρὰ γὰρ τὸ ⟦ἀποδίδοσθαι καὶ⟧ πωλεῖν τοὺς πολιτευομένους τὰ τῆς πόλεως πράγματα. VEΓΘΜ

book 131b εἷς οὑτοσὶ πώλης: παρὰ τὸ τέλος τοῦ ὀνόματος παίζει. RVEΓΘ VatLh

book 131c τί τοὐντεῦθεν;] τὸ ἑξῆς τοῦ χρησμοῦ τί ἐπαγγέλλεται. R

book 132a προβατοπώλης: τὸν Καλλίαν λέγει καὶ τὴν πολιτείαν αὐτοῦ. τινὲς δὲ ὅτι Λυσικλέα λέγει, ὃς προβατοπώλης ἐλέγετο, ᾧ ἐγαμήθη Ἀσπασία. RVEΓΘ

book 132b τινές φασιν ὅτι τὸν Λυσικλέα λέγει, ὃς προβατοπώλης ἐλέγετο, οὐ τὸν Καλλίαν. VatLh

book 132c προβατοπώλης] ὁ Καλλίας. VatLh

book 134a κρατεῖν: ἄρχειν καὶ διέπειν τὰ πολιτικά. RVEΓΓ3ΘVatLh

book 134b βδελυρώτερος] ἀντὶ τοῦ ἀσελγέστερος. REΓ3VatLh

book 135 ἀπόλλυται] ὁ προβατοπώλης. VEΓ2VatLh

book 136a βυρσοπώλης] ἀντὶ τοῦ βυρσεύς. REΓ3

book 136b βυρσοπώλης] βυρσεύς, ἤγουν ὁ Κλέων. VatLh

book 136c Παφλαγών] δέον εἰπεῖν στρατηγός, εἶπε Παφλαγών. VEΓΓ3ΘΜ VatLh

book 137a Κυκλοβόρου: ποταμὸς χειμάρρους. ἐχώσθη δὲ ὑπὸ Ἀθηναίων. EΓΓ3Θ

book 137b Κυκλοβόρου] ποταμὸς ἐν Ἀθήναις χειμάρρους. VatLh

book 137c (I) Κυκλοβόρου φωνὴν ἔχων: Κυκλοβόρος ποταμὸς Ἀθηνῶν, οὐκ ἀεὶ οὐδὲ διὰ παντὸς ῥέων, ἀλλὰ χειμάρρους. φησὶν οὖν, τραχεῖαν φωνὴν ἔχων καθάπερ ὁ ποταμὸς ἐπειδὰν ῥέῃ. ἢ ἀπὸ τοῦ τρεφομένου ἐκ τοῦ κύκλου· ὁ δὲ κύκλος Ἀθήνησίν ἐστι, καθάπερ μάκελλος ἐκ τῆς κατασκευῆς τὴν προσηγορίαν λαβών. ἔνθα δὴ πιπράσκεται χωρὶς κρεῶν τὰ ἄλλα ὤνια, καὶ ἐξαιρέτως δὲ οἱ ἰχθύες. οὕτω τὸν Κλέωνα δυνάμενον μέγα καὶ φοβερὸν ὄντα χρηματίζεσθαι παρὰ τῶν πιπρασκόντων, ἵνα μὴ περιεργάζοιτο αὐτούς. καὶ ἴσως Ὁμηρικώτερον ὠνόμασεν. ὁ γὰρ Ὅμηρος δημοβόρον φησὶ τὸν Ἀγαμέμνονα. VEΓΘΜ (II) ἄλλως: ποταμὸς τῆς Ἀττικῆς χειμάρρους ὁ Κυκλοβόρος. τὴν κακοφωνίαν οὖν τοῦ Κλέωνος εἴκασε τῷ ἤχῳ τοῦ ποταμοῦ. καὶ ἀλλαχοῦ "ᾤμην δ' ἔγωγε τὸν Κυκλοβόρον κατιέναι". ἔνιοι δὲ τόπος κυκλοτερής, ἐν ᾧ τὰ ὤνια ἐπωλοῦντο,

book 137c ἃ ἐσφετερίζετο ὁ Κλέων. VEΓΘΜ

book 137d ποταμὸς χειμάρρους μετὰ ψόφων ῥέων ὁ Κυκλοβόρος· τὴν κακοφωνίαν τοῦ Κλέωνος ᾔκασε τῷ ἤχῳ τοῦ ποταμοῦ. R

book 137e τὴν κακοφωνίαν τοῦ Κλέωνος ᾔκασε τῷ ἤχῳ τοῦ ποταμοῦ. καὶ ἀλλαχοῦ "ᾤμην δ' ἔγωγε τὸν Κυκλοβόρον κατιέναι". ἔνιοι δὲ οὐ ποταμὸν λέγουσιν εἶναι τὸν Κυκλοβόρον ἀλλὰ τόπον κυκλοτερῆ ἐν ᾧ τὰ ὤνια ἐπωλοῦντο ἃ ἐνοσφίζετο ὁ Κλέων. Ὁμηρικώτερον δὲ τοῦτο· καὶ γὰρ Ὅμηρος δημοβόρον φησὶ τὸν Ἀγαμέμνονα, λέγων "δημοβόρος βασιλεύς, ἐπεὶ οὐτιδανοῖσιν ἀνάσσεις". VatLh

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 138 ἦν χρεὼν] δέον ἦν καὶ εἱμαρμένον. RVEΓ3VatLh

book 139 δείλαιος] κοινὴ συλλαβή. VatLh

book 140 πόθεν οὖν ἂν ἔτι γένοιτο πώλης;: ἔχων ἐν τῷ τέλει τοῦ ὀνόματος τὸ πώλης. διαβάλλει δὲ τοὺς Ἀθηναίους ὡς ἀγοραίους καθιστάντας τοὺς δημαγωγούς. RVEΓΘMVatLh

book 141a ὑπερφυᾶ: ὑπερβάλλουσαν, θαυμαστὴν καὶ λαμπράν· ἐξαίρει δὲ νῦν αὐτοῦ τὴν τέχνην, ἵνα μᾶλλον ὀνειδίσῃ, φανείσης αὐτῆς λίαν εὐτελοῦς. RVEΓΘM

book 141b ὑπερφυᾶ] ὑπερβάλλουσαν, θαυμαστήν· τοῦτο δὲ κατ’ εἰρωνείαν. VatLh

book 141c ἐξαίρει αὐτοῦ τὴν τέχνην, ἵνα μᾶλλον ὀνειδίσῃ, φανείσης λίαν εὐτελοῦς. VatLh

book 142 ἀντιβολῶ] παρακαλῶ, γονυπετῶ. RVEΓ3VatLh

book 143a ἀλλαντοπώλης] τὸν Ἀγοράκριτον λέγει. VEΓΓ2ΘVatLh

book 143b ἀλλαντοπώλης] οὕτως αὐτῷ πέπλασται κατὰ κωμῳδικὴν παιδιάν. VEΓΓ3ΘM

book 143c ἐξελῶν] ἐκβάλλειν μέλλων καὶ ἐξωθεῖν τῆς πόλεως τὸν Κλέωνα. RVEΓ2ΘMVatLh

book 143d ἀλλαντοπώλης] οὕτως αὐτῷ πέπλασται κατὰ κωμικὴν παιδιὰν ἀπὸ τοῦ πωλεῖν τοὺς ἀλλᾶντας, ἤγουν τὰ λεγόμενα λουκανικά. VatLh

book 145 φέρε] ἀντὶ τοῦ ἄγε οὖν· ἀρχαία δὲ ἡ σύνταξις. VEΓ2VatLh

book 146 ἀλλ’ ὁδὶ προσέρχεται] ἀλλ’ αὐτὸς οὗτος παραγίνεται. VEΓ3VatLh

book 147a (I) ὥσπερ κατὰ θεῖον εἰς ἀγοράν: ἐπὶ τῶν ἐξαίφνης γινομένων, τουτέστιν εὐκαίρως ἐπιφαινομένων, κατὰ θεῖον ἔλεγον· ἐπεὶ καὶ ὁ ἀλλαντοπώλης αἰφνίδιον βουλομένοις μέν, μὴ προσδοκήσασι δὲ ἐπεφάνη αὐτοῖς. VEΓΘM (II) ἄλλως: κατὰ θεοῦ πρόνοιαν· τοὺς δὲ ἐξαίφνης φαινομένους οὕτως ἔλεγον κατὰ θεῖον ὦφθαι, ὅ ἐστι κατὰ πρόνοιαν θεοῦ. VEΓΘM

book 147b τοὺς ἐξαίφνης φαινομένους οὕτως ἔλεγον κατὰ θεῖον ὦφθαι· ἐπεὶ οὖν καὶ ὁ ἀλλαντοπώλης αἰφνίδιον βουλομένοις μέν, μὴ προσδοκήσασι δὲ ἐφάνη, οὕτως εἶπεν. R

book 147c κατὰ θεῖον] ἐπὶ τῶν ἐξαίφνης συμβαινόντων τοῦτο ἔλεγον. VatLh

book 149a ἀνάβαινε σωτὴρ τῇ πόλει: ἵνα, φησίν, ἐκ τῆς παρόδου ἐπὶ τὸ λογεῖον ἀναβῇ. διὰ τί οὖν ἐκ τῆς παρόδου; τοῦτο γὰρ οὐκ ἀναγκαῖον. λεκτέον οὖν ὅτι ἀναβαίνειν ἐλέγετο τὸ ἐπὶ τὸ λογεῖον εἰσιέναι. ὃ καὶ πρόσκειται. λέγεται γὰρ καὶ καταβαίνειν τὸ ἀπαλλάττεσθαι ἐντεῦθεν, ἀπὸ τοῦ παλαιοῦ ἔθους. τοῦτον δὲ οἱ μὲν Κλεώνυμον, οἱ δὲ Ὑπέρβολον, οἱ δέ φασιν Εὔβουλον εἶναι. VEΓΘMVatLh

book 149b ἀναβαίνειν ἐστὶ τὸ ἐπὶ τὸ λογεῖον εἰσιέναι· ἵνα, φησίν, ἐκ τῆς παρόδου ἐπὶ τὸ λογεῖον ἀναβῇ. τὸ ἀπαλλάττεσθαι ἐντεῦθεν ἀπὸ τοῦ παλαιοῦ ἔθους. R

book 149c ἀνάβαινε] ὡς ἐν θυμέλῃ τὸ ἀνάβαινε. VEΓΓ3ΘVatLh

book 149d νῷν] συνίζησις. VatLh

book 150a τί ἔστι; τί με καλεῖτε;: ὁ Ἀγοράκριτος, τουτέστιν ὁ ἀλλαντοπώλης, ταῦτα λέγει. εἰσάγεται δὲ εἰς τὸ θέατρον γελοίου χάριν ἔντερα καὶ κοιλίας καὶ μαγειρικὴν τράπεζαν ἔχων. RVEΓΘM

book 150b ἀλλαντοπώλην Ἀγοράκριτον εἰσάγει κατὰ παιδιάν. R

book 152a τοὐλεόν: τὸ τραπέζιον ἐν ᾧ ἦσαν οἱ ἀλλᾶντες. ἐλεοὶ γὰρ λέγονται αἱ μαγειρικαὶ τράπεζαι. καὶ Ὅμηρος “βάλλον δ’ εἰν ἐλεοῖσι”. RVEΓΘM

book 152b γελοίου χάριν εἰσήχθη εἰς τὸ θέατρον ἔχων ἔντερα καὶ κοιλίας καὶ μαγειρικὴν τράπεζαν. ἐλεοὶ γὰρ λέγονται αἱ μαγειρικαὶ τράπεζαι. καὶ Ὅμηρος “εἰν ἐλεοῖσιν ἔθηκεν”. VatLh

book 152c τοὐλεόν] τὸ μαγειρικὸν τραπέζιον. M

book 152d τοὐλεόν] τὴν μαγειρικὴν τράπεζαν. VatLh

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 154a προσκέψομαι: περιεργάσομαι, φησίν, εἰσελθών, καὶ κατανοήσω τί ποιεῖ ὁ Παφλαγών. RVΕΓΘΜ

book 154b προσκέψομαι] περιεργάσομαι, κατανοήσω. VatLh

book 155 τὰ σκεύη] τὸ ἀγγεῖον ἐν ᾧ ἔφερε τοὺς ἀλλᾶντας. VΕΓ3ΜVatLh

book 156 πρόσκυσον: προσκύνησον. RVatLh

book 157a ἰδού: πεποίηκεν ὃ προσέταξε· παρεπιγραφὴ δὲ καλεῖται τὰ τοιαῦτα πάντα. RVΕΓΘΜ

book 157b ἰδού: ταῦτ’ ἀμοιβαῖά ἐστι τοῦ ἀλλαντοπώλου καὶ ἑνὸς τῶν οἰκετῶν. RVΕΓΘ

book 159 ταγέ: ἀρχηγέ, ἡγεμών. καὶ Ὅμηρος “παρὰ δ’ οἱ ταγοὶ ἄμμι μενόντων”. RVΕΓ3ΜVatLh

book 160 κοιλίας] Ὅμηρος διὰ παντὸς γαστέρας καλεῖ, οὐ κοιλίας. EVatLh

book 161a ἀλλὰ καταγελᾷς: ἀλλὰ χλευάζεις με καὶ γέλωτα τίθεσαι. ὅσον δὲ ἀπιστοῦντα ποιεῖ, τοσοῦτον δείκνυσιν αὐτὸν τῆς πολιτείας ἀνάξιον, οὐ τὸν ἀλλαντοπώλην μόνον διαβάλλειν βουλόμενος, ἀλλ’ ὁμοῦ καὶ τῶν Ἀθηναίων καθαπτόμενος, οἳ τοιούτων ἀνέχονται πολιτῶν, καὶ διαβάλλων τὸν Κλέωνα, ὅτι αὐτός τε ἐκεῖνος ἦν εὐτελὴς καὶ ὑπὸ τοιούτου τῆς πολιτείας ἐκβληθήσεται. VΕΓΘΜVatLh

book 161b καταγελᾷς] χλευάζεις. R

book 163a τὰς στίχας: τὸ πλῆθος, τὰς τάξεις. τὸ θέατρον δὲ αὐτῷ δεικνὺς ταῦτά φησιν. RVΕΓ3

book 163b τὰς στίχας] τὰς τάξεις. VatLh

book 163c τῶνδε τῶν λαῶν] ἤγουν τῶν θεατῶν. VatLh

book 164a ἀρχέλας: ἄρχων τοῦ λαοῦ, ἡγεμών, ἔξαρχος, δημαγωγός. ἔπαιξε δὲ τῷ ὀνόματι. φησὶ γὰρ ἄρξεις τοῦ ἐλεοῦ. VΕΓΘΜ

book 164b ἀρχέλας: ἡγεμών, δημαγωγός. R

book 164c ἀρχέλας] ἄρχων τοῦ λαοῦ, ἡγεμών. ἔπαιξε δὲ τῷ ὀνόματι. VatLh

book 165a πυκνός: τῆς ἐκκλησίας. RVΕΓ3ΜVatLh

book 165b καὶ τῆς πυκνός: μετάθεσίς ἐστι στοιχείου· εἰ γὰρ πνύξ ἐστιν, ἔδει πνυκός· νῦν δὲ πυκνός. RVΕΓΘΜ

book 166a βουλὴν πατήσεις: διαπαλαίσεις, καταπονήσεις, ὑποτάξεις, ἢ ἀντὶ τοῦ καταφρονήσεις τοῦ βουλευτηρίου. VΕΓΘΜ

book 166b (I) κλαστάσεις: οἱ μὲν κλονήσεις καὶ διασείσεις, οἱ δὲ κραυγάσεις. βέλτιον δὲ κλάσεις ἀπὸ μεταφορᾶς τῶν τεμνομένων κλημάτων. VΕΓΘΜ (II) ἄλλως: ἐκ ῥιζῶν ἀνατρέψεις. ἔνθεν κλαστήριον τὸ δρέπανον, ᾧ κλαδεύουσι καὶ ξύλα καὶ κλήματα ⟦ἐν ταῖς ἀμπέλοισ⟧. VΕΓΘΜ

book 166c πατήσεις: ὑποτάξεις, διαπαλαίσεις, καταπονήσῃ. R

book 166d βουλὴν πατήσεις] ἤγουν καταφρονήσεις τοῦ βουλευτηρίου. VatLh

book 166e κλαστάσεις] κλονήσεις, διασείσεις ἢ κλάσεις καὶ συντρίψεις ἀπὸ μεταφορᾶς τῶν περιτεμνομένων κλημάτων. VatLh

book 167a ἐν πρυτανείῳ: πρυτανεῖον οἰκίσκος παρὰ τοῖς Ἀθηναίοις, ἔνθα σιτοῦνται δημοσίᾳ οἱ τῆς τοιαύτης τιμῆς παρ’ αὐτοῖς τυχόντες. περισπούδαστον δὲ ἦν τῆς τοιαύτης δωρεᾶς τυχεῖν. ἐπὶ γὰρ μεγάλοις κατορθώμασι τὴν τοιαύτην ἀπεδίδουν χάριν. VΕΓΘΜVatLh

book 167b λαικάσεις: δέον εἰπεῖν σιτήσεις, ἢ ἐν πρυτανείῳ ἀριστήσεις. παρ’ ὑπόνοιαν οὖν εἶπεν ὡς ἐν κωμῳδίᾳ. VΕΓΘΜ

book 167c λαικάσεις: παρ’ ὑπόνοιαν, δέον εἰπεῖν σιτίσῃ. R

book 167d λαικάσεις] ὡς λακόπρωκτοι. M

book 167e

λαικάσεις] πορνεύσεις, δέον σιτήσῃ. VatLh

book 169a τοὐλεόν] τὸ μαγειρικὸν τραπέζιον. R

book 169b τοὐλεόν] τραπέζιον μαγειρικόν. VatLh

book 170a ἐν κύκλῳ: ἀπὸ τοῦ συμβεβηκότος καὶ αὐτὸς ὠνόμασε, βουλόμενος δηλοῦν τὰς Κυκλάδας νήσους, κύκλῳ κειμένας. φησὶν οὖν, περίβλεψαι· καὶ γὰρ τούτων ἄρξεις. VEΓΘΜ

book 170b ἀπὸ τοῦ συμβεβηκότος τὰς Κυκλάδας νήσους, κύκλῳ κειμένας, ὠνόμασεν. R

book 170c ἀπὸ τοῦ συμβεβηκότος καὶ αὐτὸς ὠνόμασε βουλόμενος Κυκλάδας νήσους δηλῶσαι κύκλῳ κειμένας· διὸ καὶ “ἐν κύκλῳ κάτιδε” λέγει. VatLh

book 171 ὁλκάδας] τὰς ναῦς, παρὰ τὸ ἕλκειν. ΕΓ4VatLh

book 174a τὸν ἕτερον εἰς Καρχηδόνα: παίζει πρὸς τὸ ἐνταῦθα κἀκεῖσε ὅρα. ἡ μὲν γὰρ Καρία πρὸς ἕω, ἡ δὲ πρὸς δύσιν, ἡ Καρχηδών, ἡ λεγομένη Καρτάγεννα. λέγει δὲ τὴν δύσιν. VEΓΘΜVatLh

book 174b παίζει πρὸς τὸ ἐνταῦθα κἀκεῖσε ὁρᾶν. ἡ μὲν γὰρ πρὸς ἕω, ἡ Καρία, ἡ δὲ πρὸς δύσιν, ἡ Καρχηδών. R

book 175 εὐδαιμονήσω γ’ εἰ διαστραφήσομαι: εἰ στρεβλωθήσομαι τοὺς ὀφθαλμούς· ἐπεὶ εἶπε στράφηθι ἐνταῦθα κἀκεῖσε. RVEΓΘVatLh

book 176a πέρναται: πιπράσκεται. δέον εἰπεῖν διοικεῖται, ὁ δὲ εἶπε πέρναται πικρῶς, τουτέστι πιπράσκεται. RVEΓΘΜ

book 176b πέρναται] πιπράσκεται, δέον εἰπεῖν διοικεῖται. VatLh

book 179 ἀνὴρ] ἤγουν ἀνδρεῖος. ΕΓ3VatLh

book 181a ὁτιὴ πονηρὸς: πάλιν διὰ τούτου δεικνύναι βούλεται, ὅτι ὑπὸ τῶν πονηροτάτων διοικεῖται τὰ τῶν Ἀθηναίων πράγματα, καὶ ὅτι μάλιστα εὐδοκιμοῦσιν οἱ τοιοῦτοι παρ’ αὐτοῖς, ὥσπερ καὶ ὁ Κλέων. VEΓΘΜVatLh

book 181b κἀξ ἀγορᾶς] ἀγοραῖος. ΕΓ2VatLh

book 182a οὐκ ἀξιῶ] οὐχ ὑπολαμβάνω, οὐκ ἄξιον νομίζω. RVEΓ3

book 182b οὐκ ἀξιῶ] οὐκ ἄξιον νομίζω. VatLh

book 185 μῶν ἐκ καλῶν εἶ κἀγαθῶν] μὴ εὐγενὴς εἶ. ΕΓ3VatLh

book 186 τῆς τύχης] τῆς εὐτυχίας. VatLh

book 187a οἷον πέπονθας ἀγαθόν: οἷον πλεονέκτημα ὑπάρχει σοι ⟦ἔχεισ⟧. VEΓΘΜVatLh

book 187b οἷον πλεονέκτημά ἐστί σου ⟦καὶ ἔχεισ⟧. R

book 188a ἀλλ’ ὦγάθ’ οὐδὲ μουσικὴν ἐπίσταμαι: ὅτι μουσικὴν τὴν ἐγκύκλιον παιδείαν φησί. γράμματα δὲ τὰ πρῶτα στοιχεῖα. δεῖ δὲ τοὺς διερχομένους διὰ γραμμάτων παιδεύεσθαι. ἡ γὰρ παιδεία τοὺς ἀτόπους ἐκτρέπει λογισμούς. VEΓΘΜVatLh

book 188b γράμματα] τὰ πρῶτα στοιχεῖα. R

book 189a πλὴν γραμμάτων: οἱ γὰρ ἀξιώματος ἀντιποιούμενοι τὴν ἐγκύκλιον μάλιστα παιδεύονται παιδείαν. ἡ δὲ ἐγκύκλιος παιδεία διὰ πάσης χωρεῖ καὶ παιδεύσεως καὶ ῥυθμοῦ παντὸς καὶ κινήματος. ταύτην παιδευθῆναι τὸν Θηβαῖον Ἐπαμεινώνδαν, καὶ ἄλλους δὲ πολλοὺς καὶ ἀγαθοὺς ἄνδρας παρὰ πλείοσιν ἱστορεῖται. RVEΓΘΜVatLh

book 189b καὶ ταῦτα μέντοι κακὰ κακῶς: παρομοίως εἶπε “καὶ κακὰ κακῶς”. ὅτι τὸ σύνολον, φησίν, ἐπίστασαι γράμματα, τοῦτό σοι πρὸς τὴν πολιτείαν ἐστὶν ἀνωφελές. ἀποτείνεται δὲ πρὸς τοὺς πολιτευομένους πάλιν διὰ τούτων. ἢ ὡς ἀμαθῶν ὄντων καὶ τυχόντων ἀνθρώπων πολιτευομένων καὶ διὰ τοῦτο ῥᾳδίως χωρούντων ἐπὶ τὴν ἀδικίαν. ὡς τῆς παιδείας ἱκανῶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καθεστώσης ἀποδιῶξαι καὶ ἀπελάσαι τῆς ψυχῆς τοὺς πονηροὺς λογισμούς. διὰ τὴν δυσγένειαν δὲ τὸ "κακὰ κακῶς" οὐ καλῶς, ἀλλὰ κακῶς ἐπίστασθαι. VEΓΘM

book 189c παρομοίως εἶπε "καὶ κακὰ κακῶς". ὅτι τὸ σύνολον, φησίν, ἐπίστασαι γράμματα, τοῦτό σοι πρὸς τὴν πολιτείαν, φησίν, ἀνωφελές. R

book 189d κακὰ κακῶς] παροιμιῶδες, ἐπεὶ καὶ κακὰ κακῶς. VatLh

book 190a τουτὶ σὲ μόνον ἔβλαψεν: ἦ γὰρ ἂν ἀμείνων ἦσθα μηδὲ τὴν ἀρχὴν πειραθεὶς τῶν γραμμάτων. RVEΓ3ΘM

book 190b τουτὶ σὲ μόνον ἔβλαψεν] ὅτι, φησίν, ἐπίστασαι γράμματα, τοῦτό σοι πρὸς τὴν πολιτείαν ἀνωφελές. ἀμείνων γὰρ ἂν ἦσθα μηδὲ τὴν ἀρχὴν πειραθεὶς γραμμάτων. VatLh

book 190c ἀποτείνεται πρὸς τοὺς πολιτευομένους πάλιν διὰ τούτων, καὶ καθάπτεται αὐτῶν ὡς ἀμαθῶν ὄντων, καὶ διὰ τοῦτο ῥᾳδίως χωρούντων ἐπὶ τὴν κακίαν, ὡς τῆς παιδείας ἱκανῶς ἐχούσης ἀπελάσαι τοὺς πονηροὺς τῆς ψυχῆς λογισμούς. Vat

book 191 ἡ δημαγωγία γὰρ οὐ πρὸς μουσικοῦ: ἡ τῶν δημαγωγῶν ἀρχή, φησίν, οὐκέτι τοῖς σοφοῖς οὐδὲ τοῖς ἀξιολόγοις ἐγχειρίζεται. VEΓΘM VatLh

book 193a ἀλλὰ μὴ παρῇς: μὴ ὑπερίδῃς, μὴ ἀπώσῃ, μηδὲ παραπέμψῃ τοιοῦτον καιρὸν παραπεπτωκότα. EΓΘMVatLh

book 193b μὴ παρῇς] μὴ παρίδῃς. E

book 193c παρῇς] παρίδῃς, ἀφήσῃς. Γ2

book 196a (I) ᾐνιγμένος: μετὰ αἰνίγματος λελεγμένος, οὐκ αὐτόθεν φανερὸν ἔχων τὸν νοῦν. τοῦτο δὲ παρόσον οἱ χρησμοὶ λοξῶς ἐκφέρονται ὑπὸ τοῦ Ἀπόλλωνος. VEΓΘM (II) ἄλλως: μετὰ αἰνίγματος, οἷον ἄλλα μὲν λέγων, ἄλλα δὲ δηλῶν. RVEΓΘ

book 196b ᾐνιγμένος] αἰνιγματωδῶς εἰρημένος, ὁποῖοί εἰσιν οἱ χρησμοί. VatLh

book 196c —Vat

book 197a (ad vv. 197—201) στίχοι ἐν ἐκθέσει ἐπικοὶ πέντε. VEΓ3

book 197b (ad vv. 197—201) δακτυλικοὶ στίχοι ε′. VatLh

book 197c ἀλλ' ὁπόταν μάρψῃ: αὕτη ἀρχὴ ἐστι τοῦ χρησμοῦ. ὁρᾷς ὅτι ἐμπεπλεγμένος τοῖς λόγοις ἀσάφειαν κατὰ τὴν ἑρμηνείαν ἐργάζεται. VEΓΘM

book 197d βυρσαίετος ἀγκυλοχείλης: τὸν Κλέωνα λέγει. πολλάκις γὰρ προειρήκαμεν ὅτι διαβάλλει τὸν Κλέωνα. συνέθηκε δὲ τὴν λέξιν ἀπὸ τῆς βύρσης καὶ τοῦ αἰετοῦ, ἅμα τε ὡς βυρσοδέψην κωμῳδῶν τὸν Κλέωνα καὶ ὡς κλέπτην καὶ ἅρπαγα τῶν κοινῶν. ἁρπακτικὸν γὰρ ζῷον ὁ αἰετός. τὸ δὲ ἀγκυλοχείλης ἐπίθετον τοῦ αἰετοῦ, ὁ ἐπικαμπεῖς τὰς χηλὰς ἔχων. ἐπὶ δὲ Κλέωνος, τὰς χεῖρας ἀγκύλας ἔχων πρὸς τὸ κλέπτειν καὶ ἁρπάζειν. διὰ τοῦτο αἰετῷ αὐτὸν ἀπείκασεν. VEΓΘM

book 197e βυρσαίετον τὸν Κλέωνα λέγει· συνέθηκε τὴν λέξιν ἀπὸ τῆς βύρσης καὶ τοῦ αἰετοῦ, ἅμα τε ὡς βυρσοδέψην κωμῳδῶν τὸν Κλέωνα. ἀγκυλοχείλης τοῦ αἰετοῦ ἐπίθετον, ἐπὶ δὲ Κλέωνος τὰς χεῖρας ἀγκύλας ἔχων πρὸς τὸ κλέπτειν καὶ ἁρπάζειν. R

book 197f βυρσαίετον τὸν Κλέωνα λέγει διαβάλλων αὐτόν. συνέθηκε δὲ τὴν λέξιν ἀπὸ τῆς βύρσης καὶ τοῦ ἀετοῦ, ἅμα μὲν ὡς βυρσοδέψην κωμῳδῶν αὐτόν, ἅμα δὲ καὶ ὡς κλέπτην καὶ ἅρπαγα τῶν κοινῶν. ἁρπακτικὸν γὰρ ζῷον ὁ ἀετός. τὸ δὲ ἀγκυλοχείλης ἐπίθετον τοῦ ἀετοῦ διὰ τὸ ἐπικαμπεῖς ἔχειν τὰς χηλάς. VatLh

book 197g ἀλλ' ὁπόταν] ὁ χρησμός. Γ2

book 197h ἀλλ' ὁπόταν] αὕτη ἐστὶν ἡ ἀρχὴ τοῦ χρησμοῦ. VatLh

book 197i

μάρψῃ] λάβῃ. VatLh

book 197k βυρσαίετος] τὸν Κλέωνα λέγει. VatLh

book 197l ἀγκυλοχείλης] ἐπικαμπεῖς ἔχων τὰς χηλάς. VatLh

book 198a γαμφηλῇσι: σιαγόσι. δράκοντα τὸν ἀλλᾶντα. κοάλεμον τὸν κολούοντα καὶ παύοντα τὰ κακά· ὅτι καὶ αὐτὸς ἔμελλε παύσειν τὸν Κλέωνα. VEΓΘM

book 198b κοάλεμον: τὸν Ἀγοράκριτον οὕτως εἶπεν. ἔγκειται δὲ τῇ λέξει τό τε ἠλεὸν καὶ τὸ κοεῖν, ὅ ἐστι νοεῖν. τὸν οὖν ἀνόητα καὶ μάτην κοοῦντα κοάλεμον ἔλεγον. VEΓΘMVatLh

book 198c κοάλεμον: σύγκειται δὲ ἡ λέξις ἐκ τοῦ ἠλέματος καὶ τοῦ κοεῖν, ὅ ἐστι νοεῖν. R

book 198d αἱματοπώτην: καὶ τοῦτο οἰκείως ἐπὶ τοῦ δράκοντος. αἱματοπωτεῖ γὰρ τὸ ζῷον. καὶ ἐπὶ τοῦ ἀλλαντοπώλου· τὰ γὰρ ἔντερα καὶ τοὺς ἀλλᾶντας μετὰ αἵματος καὶ πιμελῆς ἢ ἀλφίτων φυρῶσιν. αἱματοπώτην οὖν τὸν αἷμα καταναλίσκοντα καὶ ὥσπερ ἐκροφοῦντα. RVEΓΘMVatLh

book 198e γαμφηλῇσι] σιαγόσι. VatLh

book 198f δράκοντα] τὸν ἀλλᾶντα λέγει. VatLh

book 198g κοάλεμον] τὸν κολούοντα τὰ κακά· ὅτι καὶ αὐτὸς ἔμελλε παύσειν τὸν Κλέωνα. VatLh

book 199a ἡ σκοροδάλμη: ἡ πικρία τοῦ σκορόδου καὶ τῆς ἅλμης. τὸ μετὰ τῆς ἅλμης τρῖμμα τῶν σκορόδων, οἷον ἡ δριμυτής. εἶπε δὲ Παφλαγόνων διὰ τὸν Κλέωνα, ἐπειδὴ Παφλαγὼν ἦν. RVEΓΘM

book 199b Παφλαγόνων] ἤγουν τοῦ Κλέωνος. VatLh

book 199c ἡ σκοροδάλμη] ἡ πικρία τοῦ σκορόδου καὶ τῆς ἅλμης, ἢ ἡ δριμυτής. VatLh

book 200 κῦδος ὀπάζει] δόξαν δίδωσιν. VatLh

book 201a αἴ κεν] ἐάν. VatLh

book 201b ἕλωνται] προκρίνωσιν. VatLh

book 201c —Vat

book 203a βυρσαίετος: ἀμφιβόλως ἐξενήνεκται κατὰ τὴν φράσιν. δύο δὲ αἴτια εἰς ταὐτὸ παραλαμβανόμενα ἀμφιβολίαν ἐργάζονται. εἴρηται δὲ παρὰ τὴν βύρσαν καὶ τὸ ἁρπάζειν. VEΓ4Θ

book 203b ὁ Παφλαγὼν] Κλέων. VatLh

book 206a περιφανέστατον] φανερώτατον. VatLh

book 208 εἶθ’ αἱματοπότης: παρόσον εἰώθασι τοὺς ἀλλᾶντας μετὰ αἵματος φυρᾶν. VEΓΘ

book 210a (I) αἴ κε μὴ θαλφθῇ λόγοις: καταθαλφθῇ, καταπλαγῇ ταῖς λοιδορίαις, τουτέστιν ἐὰν μὴ εἴξῃ μηδὲ παραχωρήσῃ λοιδορούμενος. VEΓΘM (II) ἄλλως: ⟦ἀπάτῃ⟧ ἀπατηθῇ καταπτήξας τὰς λοιδορίας Κλέωνος. VEΓ3ΘM

book 210b θαλφθῇ: καταθελχθῇ, καταπλαγῇ ταῖς λοιδορίαις. ἐὰν μὴ ἐξαπατηθῇ τῇ τῶν λόγων περιδρομῇ. R

book 210c θαλφθῇ] ἀπατηθῇ, καταπτήξας τὰς λοιδορίας Κλέωνος, ἢ καταπλαγῇ. VatLh

book 210d —Vat

book 211a αἰκάλλει: κολακεύει, κινεῖ, προτρέπεται. R

book 211b αἰκάλλει με] θωπεύει με· γράφεται δὲ καὶ “καλεῖ με”, ἀντὶ τοῦ κινεῖ, προτρέπεται. VEΓ2

book 211c αἰκάλλει] κινεῖ, προτρέπει. VatLh

book 212a οἷός τ’ ἐπιτροπεύειν εἰμ’ ἐγώ] δυνατός εἰμι ἐπίτροπος διοικεῖν καὶ ἄρχειν. R

book 212b οἷός τε] δυνατός. EΓ3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 212c ἐπιτροπεύειν] ἄρχειν, διοικεῖν. ΕΓ2VatLh

book 213a φαυλότατον: ῥᾴδιον, ἁπλοῦν, εὐχερές. RM

book 213b φαυλότατον] ῥᾴδιον, εὐτελές, βραχύ, ἁπλοῦν. VΕΓ3

book 213c φαυλότατον] εὐτελές, ῥᾴδιον. VatLh

book 214a τάραττε: παρῳδίας τρόπον. παρῴδησε γὰρ τὸν ἴαμβον ἐξ Ἡρακλειδῶν Εὐριπίδου. μεταφορικῶς δὲ τοῖς ὀνόμασι χρῆται ἐπὶ τῆς πολιτείας καὶ τῇ τοῦ ἀλλαντοπώλου τέχνῃ. τάραττε, φησί, καὶ συμφύρα τὰ πράγματα. VΕΓΘΜ

book 214b (I) χόρδευε: τὰ ἔντερα τῶν τετραπόδων χορδὰς καλοῦσι· καὶ τοῦτο οὖν ἀπὸ τῆς τέχνης τοῦ ἀλλαντοπώλου εἴρηται. ὥσπερ γάρ, φησί, γεμίζεις καὶ πληροῖς τὰ ἔντερα πάντα τοῦ φυράματος, οὑτωσὶ χόρδευε καὶ τὰ πολιτικά, τουτέστι σύμπλεκε ἀλλήλοις καὶ συγκύκα. RVΕΓΘΜ (II) ἄλλως: παρὰ τὸ χορδή. χορδὴ γάρ ἐστι τὸ λεπτὸν ἔντερον, ὃ εἰώθασι πλέκειν οἱ μάγειροι. διαβάλλει δὲ πάλιν τοὺς στρατηγοὺς 〈ὡσ〉 ταράττοντας καὶ χορδεύοντας, τουτέστιν εἰς πλοκὰς ἐμβάλλοντας τὴν πόλιν. VΕΓ3ΘΜ

book 214c παρῴδησε τὸν ἴαμβον ἐξ Ἡρακλειδῶν Εὐριπίδου. μεταφορικῶς δὲ τοῖς ὀνόμασι χρῆται ἐπὶ τῆς πολιτείας καὶ τῆς τοῦ ἀλλαντοπώλου τέχνης. τάραττε, φησί, καὶ συμφύρα τὰ πράγματα. τὸ δὲ χορδεύειν τὸ τὰ ἔντερα πληροῦν ἐστι τοῦ φυράματος, ὃ ἐξ αἵματος καὶ πιμελῆς καὶ ἀλφίτων κατασκευάζουσιν, ὡς εἴρηται. χορδαὶ γάρ εἰσι τὰ τῶν τετραπόδων ἔντερα ἃ εἰώθασιν οἱ μάγειροι πλέκειν, ἢ πληροῦν τοῦ φυράματος. διαβάλλει δὲ τοὺς στρατηγοὺς ὡς ταράττοντας καὶ εἰς πλοκὰς ἐμβάλλοντας τὴν πόλιν. VatLh

book 216a ὑπογλυκαίνων] ἡδύσμασι χρώμενος καὶ ἀρτύμασι καὶ κολακείαις. VΕΓ3

book 216b ῥηματίοις] ἤγουν κολακείαις· ἐχρήσατο δὲ τῇ λέξει ὡς μάγειρος. Γ2

book 216c ὑπογλυκαίνων] ἡδύσμασι χρώμενος καὶ ἀρτύμασι, λόγοις κολακευτικοῖς καὶ γλυκέσιν. VatLh

book 219a ἔχεις ἅπαντα: σύμφωνά σοι ἔχεις καὶ ἁρμόζεις εἰς ἅπαντα. πάλιν δὲ ἐνταῦθα αὐτῶν καθάπτεται τῶν Ἀθηναίων καὶ τῶν πολιτευομένων, ὡς τῶν μὲν τοιούτοις ἐγχειριζόντων τὰ δημόσια, τῶν δὲ πολιτευομένων οὕτω πεφυκότων. VΕΓΘΜ

book 219b ἔχεις ἅπαντα] ἤγουν ἁρμόζεις εἰς ἅπαντα. VatLh

book 220a συμβαίνουσι] συμπράττουσι. VΕΓ3

book 220b συμβαίνουσι] συμφωνοῦσι. VatLh

book 221a τῷ Κοαλέμῳ: ἀντὶ τοῦ τῇ ἀνοίᾳ· ἀναπλάττει δὲ αὐτὴν ὡς δαίμονα. τοῦτο δὲ παρῴδησεν ἐκ τῆς τραγῳδίας. ἀνέπλασε δέ τινα δαίμονα ἀπὸ τῶν προειρημένων κωμικῶς. τουτέστιν ἀπατητικῷ καὶ ἀνοήτῳ δαίμονι· ἢ τῷ κωλύοντι τὸν ἄνεμον καὶ παύοντι δαίμονι· ἢ τῷ ἀλλαντοπώλῃ. VΕΓΘΜ

book 221b Κοάλεμόν τινα ἀναπλάττει δαίμονα ἀπὸ τῶν προειρημένων κωμικῶς. ἤγουν ἀπατητικὸν καὶ ἀνόητον δαίμονα, ᾧ προτρέπει θύειν αὐτὸν ὡς ἀνόητον καὶ ἀνοήτων ἐπιστατήσοντα. VatLh

book 221c Κοαλέμῳ] ἀνοήτῳ. Μ

book 221d σπένδε] θύε. VatLh

book 221e τῷ Κοαλέμῳ] τῇ ἀνοίᾳ. VatLh

book 222a χὤπως ἀμυνεῖ] λείπει τὸ σκόπησον· καταγωνιεῖ. VΕΓ2

book 222b χὤπως ἀμυνεῖ] σκόπει· καταγωνιεῖ. VatLh

book 224a βδύλλει: καταπέπληγε, βδελύττεται, τουτέστι μισεῖ. VΕΓΘΜVatLh

book 224b βδύλλει] μισεῖ. Μ

book 224c —Vat

book 225 ἀλλ’ εἰσὶν ἱππεῖς: οἱ ἱππεῖς ἐπέθεντο αὐτῷ, ἐπεὶ ὅτε ἦν εἷς αὐτῶν, κακῶς αὐτοὺς διέθηκεν. οἱ δὲ ἱππεῖς τάγμα εἰσὶν ἐν τῇ Ἀττικῇ· ἀφ’ ὧν ὁ χορὸς σύγκειται τῷ δράματι, ὅθεν καὶ τὴν ἐπιγραφὴν πεποίηται. VEΓΘM

book 226a μισοῦντες αὐτόν: Θεόπομπος ἐν δεκάτῳ Φιλιππικῶν φησὶν ὅτι οἱ ἱππεῖς ἐμίσουν αὐτόν· προπηλακισθεὶς γὰρ ὑπ’ αὐτῶν καὶ παροξυνθεὶς ἐπετέθη τῇ πολιτείᾳ καὶ διετέλεσεν εἰς αὐτοὺς κακὰ μηχανώμενος. κατηγόρει γὰρ αὐτῶν ὡς λιποστρατούντων. διὰ τοῦτο οὖν ἐμνήσθη Ἀριστοφάνης. VEΓΘM

book 226b ἱππεῖς τάγμα εἰσὶν ἐν τῇ Ἀττικῇ, ἀφ’ ὧν ὁ χορὸς σύγκειται· ἐξ ὧν καὶ τὴν ἐπιγραφὴν τοῦ δράματος πεποίηται. οὗτοι τὸν Κλέωνα ἐμίσουν. εἷς γὰρ ὢν αὐτῶν κακῶς αὐτοὺς διέθηκεν. προπηλακισθεὶς δὲ παρ’ αὐτῶν καὶ παροξυνθεὶς ἐπετέθη τῇ πολιτείᾳ καὶ διετέλεσεν εἰς αὐτοὺς κακὰ μηχανώμενος. κατηγόρησε γὰρ αὐτῶν ὡς λιποστρατούντων. διὰ τοῦτο εἰσάγει αὐτοὺς βοηθήσοντας τῷ ἀλλαντοπώλῃ. VatLh

book 228a ὅστις ἐστὶ δεξιός: ἀγαθός, εὔνους ἡμῖν, ἀπεχθόμενος πρὸς τὴν τοῦ Κλέωνος πονηρίαν. VEΓΘ

book 228b δεξιός] ἀγαθός, εὔνους ἡμῖν καὶ μισῶν τὸν Κλέωνα. VatLh

book 229 ξυλλήψεται] συμμαχήσει. EΓ2VatLh

book 230a (I) ἐξῃκασμένος: πεπλασμένος πρὸς ὁμοιότητα. ἔθος γὰρ ἦν τοῖς κωμικοῖς ὅμοια τὰ προσωπεῖα ποιεῖν τοῖς κωμῳδουμένοις, ἵνα φανεροὶ ὦσι ⟦τοῖς ὑπ’ αὐτῶν⟧ καὶ περιτιθέναι τοῖς ὑποκριταῖς. VEΓΘM (II) ἄλλως: οὐκ εἶχεν αὐτοῦ προσωπεῖον διὰ τὸ δεδοικέναι τοὺς σκευοποιοὺς καὶ μὴ θέλειν μήτε πλάττειν μήτε σχηματίζειν τὴν ὄψιν τοῦ Κλέωνος. λέγει οὖν ὅτι μηδενὸς ὑποστάντος αὐτὸν ὑποκρίνεσθαι αὐτὸς ὁ Ἀριστοφάνης μιλτώσας ἑαυτὸν ὑπεκρίνατο, ἢ τῇ τρυγίᾳ χρίσας ἑαυτόν. VEΓΘM

book 230b ἔθος ἦν τοῖς κωμικοῖς ὅμοια τὰ προσωπεῖα ποιεῖν τοῖς κωμῳδουμένοις καὶ περιτιθέναι τοῖς ὑποκριταῖς, ἵνα φανεροὶ ὦσι. τὸν Κλέωνα δὲ οὐδεὶς ἠθέλησε μιμήσασθαι ὑπὸ φόβου. ἀλλ’ ὁ Ἀριστοφάνης μόνος χρίσας ἑαυτὸν τρυγὶ αὐτὸν ὑπεκρίθη. VatLh

book 230c ἐξῃκασμένος] ὁμοιωθείς. EΓ2

book 230d ἐξῃκασμένος] ἤγουν οὐδεὶς ἐξωμοίωσεν ἑαυτὸν τῷ Κλέωνι διὰ φόβον. VatLh

book 232 εἰκάσαι] ἤγουν ὑποκριθῆναι τὸ ἐκείνου πρόσωπον. VatLh

book 233 —Vat

book 235a οὗτοι μὰ τοὺς δώδεκα θεούς: τοῦτο ὁ Κλέων λέγει. ἰδὼν ὁμιλοῦντας καὶ μὴ εἰδὼς περὶ τοῦ ὁμιλοῦσι, συνωμότας αὐτοὺς καλεῖ. πικρῶς οὖν κατὰ τοῦ Κλέωνος ἐκφέρονται, ὡς τοιαῦτα αὐτοῦ συκοφαντοῦντος ἀπὸ μικρῶν καὶ εὐτελῶν προφάσεων. VEΓΘM

book 235b χαιρήσετον] χαίροντες ἀπαλλάξετε. EΓ3VatLh

book 236a ὁτιὴ ’πὶ τῷ δήμῳ ξυνώμνυτον πάλαι: ξυνωμοσίαν ἐποιήσατε, τουτέστιν ὅρκους καὶ πίστεις ἀλλήλοις δεδώκατε, ἵνα ὁμοφρονήσητε κατὰ τοῦ δήμου. VEΓΘM

book 236b ἐπὶ τῷ δήμῳ] κατὰ τοῦ δήμου. VEΓ3

book 236c ἰδὼν ὁ Κλέων τούτους ὁμιλοῦντας καὶ φόβον αὐτοῖς ἐμβαλεῖν βουλόμενος τοῦτό φησιν· οὐκ εἰδὼς περὶ τίνος ὁμιλοῦσι, διαβάλλειν δὲ αὐτοὺς βούλεται. συνωμότας γὰρ αὐτοὺς καλεῖ ὡς πίστεις καὶ ὅρκους πρὸς ἀλλήλους ποιήσαντας κατὰ τοῦ δήμου. VatLh

book 237a τὸ Χαλκιδικὸν ποτήριον: ἔγνωκεν ὅτι ὁ θεράπων ἔπινε καὶ εἶχεν ἐπὶ χεῖλος τὸ ποτήριον. ἰδὼν οὖν ⟦ὁ Κλέων⟧ προφάσει καὶ τούτῳ κέχρηται τῆς συκοφαντίας, καὶ τὸ ποτήριον εὐθύνει ὡς Χαλκιδικόν. κωμῳδεῖ δὲ αὐτὸν ὡς καὶ ἐπὶ τοῖς τυχοῦσι μεγάλα μεμφόμενον. οἱ δὲ Χαλκιδεῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰσὶ μὲν ἐπὶ τῆς Εὐβοίας ἄποικοι Ἀθηναίων, εἰσὶ δὲ καὶ ἐπὶ Θρᾴκης ⟦οἱ Χαλκιδεῖσ⟧, ἄποικοι ὄντες ἀπὸ τῆς Εὐβοίας. πολλὰ δὲ ἦν τότε χωρία τῆς Θρᾴκης ὑπακούοντα τοῖς Ἀθηναίοις, περὶ ὧν νῦν λέγει. καὶ γὰρ ἐπὶ Θρᾴκης Χαλκιδεῖς ἦσαν ὑπηκόοι τῶν Ἀθηναίων. φησὶν οὖν ὅτι τὸ ποτήριον τοῦτο Χαλκιδικόν ἐστι, καὶ πόθεν ὑμεῖς αὐτὸ ἔχετε, εἰ μὴ δῶρον ὑμῖν ἐδόθη ἵνα ἀποστῶσιν; ἔλαβε δὲ τὴν πρόφασιν εὔκαιρον τοῦ ὀνόματος τῶν Χαλκιδέων, διὰ τὸ κατ' ἐκεῖνον τὸν καιρὸν ἀποστῆναι αὐτοὺς τῶν Ἀθηναίων. ἀπέστησαν δὲ ἀπὸ Ἀθηναίων Χαλκιδεῖς ἐπὶ Εὐκλέους ἄρχοντος. VEΓΘM

book 237b τὸ Χαλκιδικὸν ποτήριον] τὸ ὀστράκινον. ἐχρῶντο δὲ τούτῳ εἰς τὰ συμπόσια. VEΓ3VatLh

book 238a Χάλκις: πόλις Εὐβοίας, ἄποικοι Ἀθηναίων. ἐχρῶντο δὲ τοῖς ὀστρακίνοις 〈εἰς τὰ συμπόσια〉· ὡς ἀεὶ οὖν τοῦ Κλέωνος δι' ἐλάχιστόν τι κατηγοροῦντος. χωρίζετε οὖν, φησί, Χαλκιδέας ἀπὸ τῆς τῶν Ἀθηναίων συμμαχίας. VEΓΘM

book 238b οἱ Χαλκιδεῖς εἰσὶ μὲν καὶ ἐπὶ τῆς Εὐβοίας ἄποικοι Ἀθηναίων, εἰσὶ δὲ καὶ ἐπὶ Θρᾴκης ἄποικοι τῆς Εὐβοίας. πολλὰ δὲ ἦν τότε χωρία τῆς Θρᾴκης ὑπηκόα τοῖς Ἀθηναίοις, ἐν οἷς ἦσαν καὶ Χαλκιδεῖς. ἰδὼν οὖν ὁ Κλέων ἐν ταῖς χερσὶ τοῦ θεράποντος ὀστράκινον ποτήριον, φησὶν ὅτι τὸ ποτήριον τοῦτο Χαλκιδικόν ἐστι, καὶ πόθεν ὑμεῖς αὐτὸ ἔχετε, εἰ μὴ δῶρον ὑμῖν ἐδόθη παρ' αὐτῶν ἵνα ἀποστῶσι τῆς τῶν Ἀθηναίων συμμαχίας; ἔλαβε δὲ τὴν πρόφασιν εὔκαιρον, διὰ τὸ κατ' ἐκεῖνον τὸν καιρὸν ἀποστῆναι αὐτοὺς Ἀθηναίων ἐπὶ Εὐκλέους ἄρχοντος· ὡς ἀεὶ οὖν τοῦ Κλέωνος δι' ἐλαχίστων κατηγοροῦντος τοῦτό φησιν. VatLh

book 238c Χαλκιδέας] πόλις Εὐβοίας, ἄποικος Ἀθηναίων. VatLh

book 240a ὦ γεννάδα] τοῦτο ὁ θεράπων πρὸς τὸν Ἀγοράκριτον. ἔν τισι δὲ οἱ δύο στίχοι οὐκ ἔγκεινται. VEΓ3

book 240b ὦ γεννάδα] τοῦτο ὁ θεράπων πρὸς τὸν Ἀγοράκριτον. MVatLh

book 241 —Vat

book 242a (ad vv. 242—6) ἐν ἐκθέσει στίχοι τροχαϊκοὶ καταληκτικοὶ ε', οὓς οἱ ὑποκριταί φασιν. EΓ3M

book 242b ἄνδρες ἱππεῖς: ὡς συκοφαντούμενος ἐπικαλεῖται εἰς βοήθειαν τοὺς ἱππέας. εἷς δὲ τῶν ἱππέων ὁ Σίμων καὶ ὁ Παναίτιος. VEΓΘM

book 242c ἄνδρες ἱππεῖς] ὡς συκοφαντούμενοι ἐπικαλοῦνται πρὸς βοήθειαν τοὺς ἱππεῖς. VatLh

book 243a πρὸς τὸ δεξιὸν κέρας: ὡς ἐπὶ τάξεως φησίν. ὁ δὲ Παναίτιος ὡς μέγας τῶν ἱππέων κωμῳδεῖται. τινὲς δέ φασι τὸ μὲν "ἄνδρες ἱππεῖς" 〈τὸν〉 ἀλλαντοπώλην λέγειν, ἄλλοι δὲ τὸ "ἄνδρες ἐγγύς" τὸν θεράποντα. VEΓΘM

book 243b πρὸς τὸ δεξιὸν κέρας] ὡς ἐπὶ τάξεως φησίν. VatLh

book 243c οὐκ ἐλᾶτε;] ἐπὶ παρατάξεως. Γ2

book 243d ὦ Σίμων, ὦ Παναίτι'] Σίμων καὶ Παναίτιος ἵππαρχοι. VEΓ3

book 243e ὦ Σίμων, ὦ Παναίτι'] ὁ Σίμων καὶ ὁ Παναίτιος ἵππαρχοι καὶ τοῦ τῶν ἱππέων τάγματος. VatLh

book 244a κἀπαναστρέφου: ὡς τοῦ ἀλλαντοπώλου πεφευγότος εἶπεν ἀναστρέφου. VEΓΘM

book 244b κἀπαναστρέφου] ὡς πεφευγότος τοῦτο λέγει. VatLh

book 245 ὡς ὁμοῦ προσκειμένων: τὸ ὁμοῦ λέγουσιν Ἀττικοὶ ἀντὶ τοῦ ἐγγύς, ὡς καὶ ἐν Εἰρήνῃ "καὶ μὴν ὁμοῦστιν ἤδη". VEΓΘVatLh

book 246a τροπὴν] φυγήν, δίωξιν. VEΓ2VatLh

book 246b VatLh

book 247a

(ad vv. 247—83) κορωνίς, ὅτι εἰσέρχεται ὁ χορὸς τῶν ἱππέων καὶ πάλιν στίχοι τροχαϊκοὶ λβ′. VEΓ3

book 247b ※ Vat

book 247c (ad vv. 247—83) παῖε παῖε τὸν πανοῦργον: εἴσθεσις διπλῆς ἀμοιβαίας ἑτέρων ὑποκριτῶν εἰσιόντων. οἱ δὲ στίχοι εἰσὶ τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ λζ′, ὧν τελευταῖος “καὶ τέμαχος οὗ Περικλῆς οὐκ ἠξιώθη πώποτε”. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει τῶν στίχων διπλῆ ἔξω νενευκυῖα. VatLh

book 247d παῖε παῖε τὸν πανοῦργον: ἐντεῦθεν ἡ πάροδος γίνεται τοῦ χοροῦ ἀπὸ τῶν ἱππέων συμπληρουμένου· οἵτινες ἐπικαλουμένου ἀκούσαντες τοῦ θεράποντος, εὐθέως ἀφικνοῦνται βοηθήσοντες αὐτῷ. ταραξιππόστρατον δὲ καλοῦσι τὸν Κλέωνα, τουτέστι τὸν ταράσσοντα τὸ πλῆθος τὸ ἱππικόν. τοῦτο δὲ εἶπεν, ἵνα δόξωσιν εἰκότως αὐτῷ χαλεπαίνειν καὶ αὐτοὶ καὶ πολεμεῖν· ἢ ἵνα τὸν Κλέωνα δείξῃ διὰ πάντων λυμαινόμενον τὴν πόλιν, διαφθείροντα μὲν τὸ ἱππικόν, σφετεριζόμενον δὲ τοὺς φόρους. VEΓΘMVatLh

book 248a καὶ τελώνην: 〈τελώνην αὐτὸν λέγει, ὡς ἀπηνῶς τελωνοῦντα·〉 διεβέβλητο 〈γὰρ〉 τὸ τοῦ τελώνου ὄνομα. ὡς καὶ τοῦ Κλέωνος ὄντος τελώνου καὶ ὑπὲρ τὸ τέλος τελωνοῦντος. φάραγξ δὲ τὸ ἀπόσχισμα τῆς γῆς, ὃ τὸ παρεμπίπτον ὕδωρ πίνει· τοῦτο δὲ καὶ εἰς τὸ κακόφωνον αὐτοῦ. Χάρυβδιν δὲ ἁρπαγῆς ὡς πᾶν ὁτιοῦν ἁρπάζοντα. VEΓ3ΘM

book 248b φάραγγα: τὸ τῆς γῆς βάραθρον ὅ, ἐὰν εἰς αὐτὸ ὕδωρ ἐμπέσῃ, ἀφανὲς ποιεῖ. εἰς ἄδηλον γὰρ τὸ ὕδωρ καταναλίσκεται. τοῦτο δὲ διὰ τὸ κακόφωνον τοῦ Κλέωνος καὶ τὸ κράζειν ὡς ἐπὶ τῶν πετρῶν τὰ κύματα. VEΓ3Θ

book 248c τελώνην δὲ αὐτὸν λέγει ὡς ἀπηνῶς τελωνοῦντα. διεβέβλητο γὰρ τὸ τοῦ τελώνου ὄνομα. φάραγγα δὲ καὶ Χάρυβδιν διὰ τὸ τὰ παρεμπίπτοντα ἁρπάζειν καὶ κατεσθίειν, ὡς φάραγξ καὶ ἡ Χάρυβδις τὸ παρεμπίπτον ὕδωρ πίνει. VatLh

book 248d φάραγγα] διὰ τὸ κακόφωνον αὐτοῦ. VatLh

book 248e Χάρυβδιν ἁρπαγῆς] ὡς κατεσθίοντος αὐτοῦ τὰ κοινά. VEΓ3VatLh

book 249 αὔτ’] αὐτό. VatLh

book 251a κύκα] οἷον πᾶν αὐτῷ κίνει πρᾶγμα καὶ μηχανήν· τοῦτο γάρ ἐστι τὸ κυκᾶν. VEΓ3VatLh

book 251b κύκα] οἷον πᾶσαν αὐτῷ μηχανὴν κίνει καὶ κατ’ αὐτοῦ. Γ2

book 252a κἀπικείμενος βόα: ἀντὶ τοῦ τύπτων αὐτόν· διὰ δὲ Κλέωνα τοῦτο πάλιν λέγει, ἐπειδὴ κεκράκτης ἦν. VEΓ3ΘmVatLh

book 252b βδελύττου] μίσει, ἀποστρέφου. EΓ2VatLh

book 253 καὶ γὰρ οἶδε τὰς ὁδούς: ἐπίσταται, φησί, τὰς καταδύσεις Εὐκράτους τὰς ἐπὶ τὰ κυρήβια. κυρήβια δέ εἰσι τὰ πίτυρα καὶ ἄχυρα τῶν πυρῶν ἢ κριθῶν· μύλωνας δὲ ἔχων ὁ Εὐκράτης εἰκότως εἶχε καὶ κυρήβια. ἐκωμῴδησεν οὖν εὐκαίρως αὐτὸν ὡς μυλωνάρχην καὶ ὡς πρὸ αὐτοῦ πολιτευσάμενον καὶ πεφευγότα. τινὲς δὲ ὅτι ἦν μυλωνάρχης. VEΓ3ΘM

book 254a κυρηβίων: ἔνθα αἱ κάχρυς φρύγονται. κάχρυς δέ εἰσιν αἱ λελεπισμέναι κριθαί, ἀφ’ ὧν ἡ πτισάνη. σκώπτει δὲ καὶ τὸν Εὐκράτην ὡς τοιαύτην τέχνην ἔχοντα. ἐν ἄλλοις γοῦν φανερώτερόν φησι, “καὶ σὺ κυρηβιοπῶλα Εὔκρατες στύππαξ.” VEΓ3ΘVatLh

book 254b Εὐκράτης] ὁ καλούμενος στύππαξ. VEΓ3VatLh

book 254c κυρηβίων] τῶν μυλώνων· κυρήβια γὰρ τὰ πίτυρα τῶν κριθῶν. VEΓ3VatLh

book 254d —Vat

book 255a

ὦ γέροντες ἡλιασταί: τοῦτο ὁ Κλέων λέγει, καὶ αὐτὸς ἐπικαλούμενος τοὺς δικαστὰς εἰς βοήθειαν. Ἡλιαία γὰρ μέγιστον δικαστήριον Ἀθήνησιν· οἱ δὲ δικασταὶ ὑπὸ τῶν δημαγωγῶν ἐτρέφοντο, τριώβολον λαμβάνοντες μισθὸν δικαστικὸν μετὰ τὸ κρῖναι. ὡς δημαγωγὸς οὖν ἐπικαλεῖται οὓς ἔτρεφεν. συγγενεῖς δὲ εἶπε τριωβόλου οἷον προσῳκειωμένοι καὶ προσπεφυκότες τῷ τριωβόλῳ. καὶ γὰρ τοὺς συγγενεῖς φράτορας καλοῦσιν. εἰσὶ δὲ οἱ τῆς αὐτῆς φατρίας μετέχοντες, οἷον πατρίας τινός. ὁ γοῦν Ὅμηρος τὴν αὐτὴν πάτραν λέγει “ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος ἠδ’ ἴα πάτρη”, καὶ κατ’ ἀναφορὰν πάτρη καλεῖται. μεταπέπτωκε δὲ τὰ στοιχεῖα καθάπερ ἐπὶ τοῦδε, ὁ φάτριος Ζεὺς καὶ ὁ πάτριος.

book 255a τὸ δὲ τριώβολον ἡμίδραχμόν ἐστιν. Ἡλιαία δὲ καλεῖται διὰ τὸ ὑπαίθριον αὐτὴν εἶναι καὶ ὑπὸ τῷ ἡλίῳ καθέζεσθαι τοὺς συνελθόντας δικαστάς. VEΓ3ΘM

book 255b περὶ τῆς Ἡλιαίας τοῦ δικαστηρίου. δικαστήριόν ἐστιν Ἀθήνησιν Ἡλιαία καλούμενον διὰ τὸ ὑπαίθριον εἶναι καὶ ὑπὸ τοῦ ἡλίου φλέγεσθαι τοὺς συνερχομένους ἐν αὐτῷ δικαστάς. οἵτινες ὑπὸ τῶν δημαγωγῶν ἐτρέφοντο, τριώβολον λαμβάνοντες μισθὸν δικαστικὸν μετὰ τὸ κρῖναι. ὡς δημαγωγὸς οὖν ἐπικαλεῖται οὓς ἔτρεφεν. φράτορες δὲ καλοῦνται οἱ τῆς αὐτῆς φατρίας μετέχοντες οἷον πατρίας τινός. μεταπέπτωκε γὰρ τὰ στοιχεῖα καθάπερ ἐπὶ τοῦδε, ὁ φάτριος Ζεὺς ἤγουν ὁ πάτριος. τὸ δὲ τριώβολον ἡμίδραχμόν ἐστιν. VatLh

book 255c ἡλιασταί] Ἡλιαία μέγιστον δικαστήριον Ἀθήνησιν. VatLh

book 255d φράτορες τριωβόλου] συγγενεῖς, προσῳκειωμένοι τῷ τριωβόλῳ. VatLh

book 256a οὓς ἐγὼ βόσκω: πικρῶς ὡς θρέμμασιν αὐτοῖς κέχρηται ἀλόγοις. βόσκειν γὰρ ἐπὶ τῶν ἀλόγων ζῴων τίθεται. τὸ δὲ δίκαια κἄδικα, οἷον ἐκ δικαίου 〈καὶ ἀδίκου〉. VEΓ3ΘM

book 256b βόσκω] τρέφω. Γ2

book 256c βόσκω] τρέφω. ὡς δημαγωγὸς γὰρ καλεῖ οὓς ἔτρεφεν. VatLh

book 257a (I) ξυνωμοτῶν: ξυνωμοσίαν πεποιημένων, τουτέστι πίστεις δι’ ὅρκων διδόντων αὑτοῖς καὶ συνθήκας κατ’ ἐμοῦ πεποιηκότων. VEΓ3ΘM (II) ἄλλως: προδοτῶν τοῦ δήμου, τῶν συνομνυόντων ἐπὶ τῇ καθαιρέσει τοῦ δήμου. VEG3ΘM

book 257b ξυνωμοτῶν] ἐπιβούλων, προδοτῶν. VatLh

book 257c —Vat

book 258a πρὶν λαχεῖν: πρὶν χειροτονηθῆναι, πρὶν κληρωθῆναι. πρὸ διανομῆς, φησίν, ἁρπάζεις· ἡ μεταφορὰ ἀπὸ τῶν ἐν τοῖς δείπνοις ἁρπαζόντων πρὸ διανομῆς. VEΓ3ΘM

book 258b πρὶν λαχεῖν] ἤγουν πρὶν κληρωθῆναι, πρὸ διανομῆς. Γ2

book 258c πρὶν λαχεῖν κατεσθίεις] ἤγουν πρὶν διανεῖμαι αὐτὰ ἁρπάζεις. VatLh

book 259a (I) κἀποσυκάζεις: συκοφαντεῖς· ἐχρήσατο δὲ τῷ ὀνόματι, ἀφ’ οὗ καὶ συκοφάντης κέκληται. τὸ γὰρ παλαιὸν τίμια παρὰ τοῖς Ἀθηναίοις τὰ σῦκα ἦν, καὶ εἴ τις διεβλήθη κλέπτων, ἐκολάζετο. ⟦φαίνειν δὲ ἔλεγον τὸ κατηγορεῖν⟧ VEΓΘ (II) ἄλλως: συκάζειν τὸ ἀποθλίβειν τὰ σῦκα, εἰ ὠμὰ ἢ πέπειρα. καλῶς οὖν ἐπήνεγκε τὸ “ἀπο〈συκάζεις〉 πιέζων”, ἐπεὶ ἀποθλίβει τοὺς συκοφαντουμένους καὶ πιέζει δωροδοκῶν. VEΓΘ

book 259b τοὺς ὑπευθύνους σκοπῶν: διαλογιζόμενος καὶ ὁρῶν καὶ πολυπραγμονῶν. τὸ δὲ “πέπων ἢ μὴ πέπων” ἀντὶ τοῦ ἁπαλός, ῥᾳδίως διασεισθῆναι δυνάμενος. μεταφορικῶς δὲ ἀπὸ τοῦ συκάζειν τούτοις τοῖς ὀνόμασι κέχρηται. ὠμὰ γὰρ τὰ μηδέπω ὡριμακότα. ὥσπερ οὖν ἐπὶ τῶν καρπῶν ἐκ μὲν τῶν πεπανθέντων ἔστι δρέψασθαι καὶ φαγεῖν, ἐκ δὲ τῶν ἀώρων καὶ ὠμῶν οὐκέτι, οὕτως, φησί, καὶ ἐπὶ τῶν ἀνθρώπων ὁ Κλέων διελογίζετο, καὶ διέκρινε τίς ἐπιτήδειος διασεισθῆναι καὶ τίς σκληρὸς καὶ δυσκαταμάχητος. ὑπευθύνους δὲ τοὺς μηδέπω λογισμὸν παρεχομένους μηδὲ εὐθύνας τῆς ἀρχῆς ἧς ἐπιστεύθησαν. VEΓΘ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 259c (I) ἀποσυκάζεις: συκοφαντεῖς. ἐχρήσατο δὲ τῷ ὀνόματι ἀφ’ οὗ καὶ συκοφάντης λέγεται. τὸ γὰρ παλαιὸν τίμια παρ’ Ἀθηναίοις τὰ σῦκα ἦν, καὶ εἴ τις διεβλήθη κλέπτων, ἐκολάζετο. ⟦φαίνειν δὲ ἐλέγετο τὸ κατηγορεῖν⟧. M (II) ἄλλως: ἀποσυκάζειν, συκοφαντεῖν. οἱ δὲ δοκιμάζειν. ἀποσυκάζειν γὰρ τὸ τὰ πέπειρα σῦκα διαλέγειν. διόπερ προσέθηκε πιέζων. ἐκθλίβοντες γὰρ δοκιμάζομεν τὰ σῦκα, εἰ πέπειρά ἐστιν ἢ μή. ἐπεὶ τοίνυν συκάζειν λέγεται καὶ τὸ συκοφαντεῖν καὶ τὸ σῦκα κλέπτειν, ἅπαξ εἰπὼν τὸ ἀποσυκάζεις, ἐπήνεγκε τὸ πιέζων. M

book 259d ὑπευθύνους σκοπῶν: διαλογιζόμενος καὶ ὁρῶν καὶ πολυπραγμονῶν. τὸ δὲ “πέπων ἢ μὴ πέπων” ἀντὶ τοῦ ἁπαλὸς καὶ ῥᾳδίως διασεισθῆναι δυνάμενος. μεταφορικῶς δὲ εἶπεν ἀπὸ τοῦ συκάζειν. ὠμὰ γὰρ τὰ μηδέπω ὥριμα. ὥσπερ οὖν ἐκ τῶν ὡρίμων ἔστι φαγεῖν, ἐκ δὲ τῶν ὠμῶν οὐκέτι, οὕτω καὶ ἐπὶ τῶν ἀνθρώπων ἐκ μὲν τῶν ὠμῶν, τουτέστι τῶν σκληρῶν καὶ δυσκαταμαχήτων οὐκ ἔστι φαγεῖν, ἐκ δὲ τῶν χαύνων φαγεῖν. ὑπευθύνους δὲ λέγει τοὺς καταδίκους. M

book 259e ἀποσυκάζεις] συκοφαντεῖς. Γ2

book 259f ἀποσυκάζεις] συκοφαντεῖν, ἀφ’ οὗ καὶ συκοφάντης. τὸ γὰρ παλαιὸν τίμια τὰ σῦκα παρ’ Ἀθηναίοις, καὶ εἴ τις διαβληθείη κλέπτων, ἐκολάζετο. VatLh

book 259g ἀποσυκάζειν ἐστὶ τὸ ἀποθλίβειν τὰ σῦκα ἢ ὠμὰ ἢ πέπειρα. καλῶς οὖν ἐπήνεγκε τὸ ἀποπιέζειν, ἐπεὶ ἀποθλίβων τοὺς συκοφαντουμένους καὶ πιέζων ἐδωροδοκεῖτο. ὑπευθύνους δὲ λέγει τοὺς μηδέπω λογισμὸν παρεχομένους μηδὲ εὐθύνας τῆς ἀρχῆς ἧς ἐπιστεύθησαν. VatLh

book 260a ὅστις αὐτῶν ὠμός ἐστι: σκληρὸς καὶ δυσκαταμάχητος. ΕΓΘ VatLh

book 260b 〈πέπων ἢ μὴ πέπων〉: ἀντὶ τοῦ εἰπεῖν πένης ἢ πλούσιος. ἐπέμεινε δὲ τῇ μεταφορᾷ ὡς ἐπὶ σύκων. ΕΓΘVatLh

book 261a ἀπράγμον’ ὄντα: ἐπιεικῆ καὶ μέτριον τοὺς τρόπους, οὐ φιλοπράγμονα. ΕΓΘVatLh

book 261b κεχηνότα] ἀνειμένον ἢ μωρόν. ΕΓ3

book 262a (I) ἐκ Χερρονήσου: Χερρόνησος τῆς Θρᾴκης χωρίον καὶ πόλις, ὑποτελὴς τῶν Ἀθηναίων, εὔφορος εἰς πυροῦ γεωργίαν. ὅθεν καὶ ἐσιταγώγουν οἱ Ἀθηναῖοι. ὡς ἰδιοπραγμόνων καὶ ἰδιωτῶν ὄντων τῶν Χερρονησιωτῶν καὶ διασείεσθαι δυναμένων ῥᾳδίως, μάλιστα δὲ τοῦ Κλέωνος ἐπηρεάζοντος αὐτούς, τούτων ἐμνήσθη. ὅθεν ὡς ἐπὶ ἀγροίκων καὶ τῷ “καταγαγών” ἐχρήσατο σημαντικῶς, ὥσπερ ἀπ’ ἀγροῦ τινος μετακαλουμένων καὶ κατιόντων εἰς πόλιν. VΕΓΘΜ (II) ἄλλως: ὡς καταγαγόντος αὐτοῦ τοὺς συμμάχους εἰς Ἀθήνας καὶ συκοφαντοῦντος καὶ ἀργυριζομένου. VΕΓ3Θ

book 262b Χερρόνησος τῆς Θρᾴκης χώρα καὶ πόλις ὑποτελὴς Ἀθηναίοις, εὔφορος εἰς πυροῦ γεωργίαν, ὅθεν καὶ ἐσιταγώγουν Ἀθηναῖοι. ὡς οὖν ἀπραγμόνων ὄντων καὶ ἰδιωτῶν καὶ ὑπὸ Κλέωνος ἐπηρεαζομένων τούτων ἐμνήσθη. ὅθεν καὶ ὡς ἐπὶ ἀγροίκων τῷ “καταγαγὼν” ἐχρήσατο, ὡς ἀπ’ ἀγροῦ κατιόντων εἰς πόλιν. VatLh

book 262c ἀγκυρίσας: ὑποσκελίσας, ⟦κατάξας, μετακαλεσάμενοσ⟧, οἷον τῇ ἀγκύλῃ καταβαλών. παλαιστρικὰ γάρ ἐστι ταῦτα καὶ τὸ “διαλαβὼν” καὶ τὸ “ἀγκυρίσας”. VΕΓΘΜ

book 262d καταγαγὼν] κατάξας. ΕΓ3

book 262e Χερρονήσου] αὕτη Θρᾴκης χώρα. VatLh

book 262f ἀγκυρίσας] ὑποσκελίσας ὡς ἐπὶ τῶν παλαιόντων. VatLh

book 263a ἐνεκολάβησας: 〈κόλαβοσ〉 ἄκολος, ψωμός, ὅθεν τὸ ἐνεκολάβησας ἀντὶ τοῦ καταπέπωκας. τὸ δὲ ὅλον, καταπαλαίσας αὐτὸν ἐκπεριελθὼν καὶ διασείσας ἀργυρίζεται. τὴν βίαν δὲ ᾗ ἐκέχρητο κατὰ τῶν ἀνθρώπων διὰ τῆς πάλης ἐδήλωσεν. VΕΓ3Θ

book 263b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἶτ' ἀποστρέψας τὸν ὦμον] τὴν βίαν ᾗ ἐκέχρητο κατὰ τῶν ἀνθρώπων διὰ τῆς πάλης ἐδήλωσεν. VatLh

book 263c ἐνεκολάβησας] ἤγουν καταπέπωκας· ἀπὸ τοῦ ψωμοῦ ὃν ἄκολον ἔλεγον. VatLh

book 264a καὶ σκοπεῖς γε τῶν πολιτῶν: διακρίνεις καὶ ἀναζητεῖς. ὁ δὲ νοῦς αὐτῷ πᾶς τοῦτο λέγειν βούλεται, ὅτι οὐ τῷ προειρημένῳ ἐπηρεάζει τρόπῳ, ἀλλ' εἴ τις καὶ τοιοῦτό τι ποιεῖ, ἀναζητεῖ καὶ διακρίνει τίς ἐστι τῶν πολιτῶν ἀμνοκῶν, οἷον προβατώδης, τουτέστι μωρὸς καὶ εὐήθης· τὰ γὰρ πρόβατα ἐπὶ εὐηθείᾳ διαβάλλεται. VEΓΘM

book 264b σκοπεῖς] ἀναζητεῖς. VatLh

book 264c ἀμνοκῶν] ἤγουν προβατώδης καὶ εὐήθης· τὰ γὰρ πρόβατα ἐπὶ εὐηθείᾳ διαβάλλεται. VatLh

book 265a καὶ τρέμων τὰ πράγματα: εὐλαβούμενος καταστῆναι εἰς πράγματα. πολλοὶ γὰρ διὰ δειλίαν καὶ ἤθους καὶ τρόπων ἐπιείκειαν αἱροῦνται ζημιωθῆναι μᾶλλον ἢ χωρῆσαι διὰ δίκης. καὶ τοὺς τοιούτους ἐπιλεγόμενος, φησίν, ὁ Κλέων καταστήσας εἰς φόβον τοῦ παρέξειν πράγματα ἐπηρεάζει ῥᾳδίως. VEΓΘM

book 265b τρέμων τὰ πράγματα] πολλοὶ γὰρ δι' ἐπιείκειαν τρόπων αἱροῦνται ζημιωθῆναι μᾶλλον ἢ χωρῆσαι διὰ δίκης· οὓς ὁ Κλέων φοβῶν ἐζημίου. VatLh

book 265c —VatLh

book 269a ὡς δ' ἀλαζών, ὡς δὲ μάσθλης: ἀλαζὼν ὁ μείζονα τῆς ἑαυτοῦ ἀξίας κομπάζων καὶ φρονῶν. μάσθλης δὲ κυρίως ἱμὰς μεμαλαγμένος καὶ ἁπαλὸς καὶ τρυφερός. καλῶς οὖν ἐπὶ τοῦ Κλέωνος τῷ ὀνόματι κέχρηται, ὁμοῦ καὶ τὸ τοῦ τρόπου ὕπουλον καὶ τὸ λαγαρὸν αὐτοῦ δεικνύς, καὶ σκώπτων ὡς βυρσέα, ἀφ' ὧν οἱ ἱμάντες γίνονται κατεργασθέντες τοιοῦτοι. VEΓΘMVatLh

book 269b εἶδες οἷ' ὑπέρχεται: ὡς παράγεται τὸν δῆμον ὑποτρέχων καὶ κολακεύει καὶ καταπραΰνει ἀπάγων τὴν ὀργὴν ἅπασαν τὴν πρὸς αὐτόν. VEΓΘ

book 269c μάσθλης] ὁ μεμαλαγμένος καὶ ἐντρίβων ταῖς πονηρίας. EΓ3

book 269d μάσθλης] ὡς ἱμὰς μεμαλαγμένος· σκώπτων δὲ ὡς βυρσέα τοῦτό φησιν. VatLh

book 269e ὑπέρχεται] ὑπούλως ἀπατᾷ. VatLh

book 270a ὡσπερεὶ γέροντας: ὥσπερ, φησί, τοὺς γέροντας δικαστὰς ἐκπανουργῆσαι, οὕτω καὶ ἡμᾶς ἐπιχειρεῖ ἀπατᾶν. κόβαλα γὰρ καλοῦσι τὰ πανουργήματα. VEΓΘ

book 270b ἐκκοβαλικεύεται: ληστεύει· κόβαλοι γὰρ οἱ μετὰ ξύλου λησταί· τοὺς αὐτοὺς καὶ κορυνηφόρους καλοῦσιν. οἱ δὲ κόβαλον τὴν μετὰ ἀπάτης παιδιάν. VEΓΘVatLh

book 270c ἐκκοβαλικεύεται: κόβαλα γὰρ καλοῦσι τὰ ἀπατήματα καὶ πανουργεύματα. ἐκκοβαλικεύεται δὲ ἀντὶ τοῦ ληστεύει. κόβαλοι γὰρ οἱ λησταί· τοὺς αὐτοὺς καὶ κυρηφόρους καλοῦσιν. οἱ δὲ κόβαλον τὴν μετὰ ἀπάτης παιδείαν. M

book 270d ἐκκοβαλικεύεται] ἀπατᾷ, παραλογίζεται. EΓ3

book 271a (I) ἀλλ' ἐὰν ταύτῃ γε νικᾷ: τῇ πανουργίᾳ. λέγει ὅτι ἐὰν τῇ πανουργίᾳ νικήσῃ, αὐτῇ τῇ πανουργίᾳ παισθήσεται. VEΓ3QM (II) ἄλλως: τὰς χεῖρας δείκνυσιν. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν παλαιόντων· διὸ φησὶ καὶ τὸ κυρηβάσει. VEΓΘ

book 271b ταύτῃ] τῇ πανουργίᾳ. Lh

book 271c ταυτῃὶ] τὴν χεῖρα δείκνυσιν, ἢ κορώνην φέρων τοῦτο λέγει. Lh

book 272a (I) κυρηβάσει: κυρηβασία λέγεται ἡ διὰ τῶν κεράτων μάχη, ἥπερ ἐν τοῖς ἀλόγοις ζῴοις γίνεται. τοῦτο οὖν δηλοῖ ὅτι ἢ μαχεῖται ἢ πλήξει. κυρηβάσεις γὰρ λέγονται αἱ πλήξεις τῶν τράγων. καὶ γὰρ ἐκεῖνοι ταῖς κεφαλαῖς διαμάχονται. VEΓΘM (II) ἄλλως: πρὸς τὸ σκέλος μαχεῖται ἢ διαπεσεῖται. VEΓ3Θ

book 272b κυρηβάσεις λέγονται αἱ πλήξεις τῶν τράγων καὶ τῶν λοιπῶν κερασφόρων ζῴων. καὶ γὰρ ἐκεῖνα ταῖς κεφαλαῖς καὶ τοῖς κέρασι διαμάχονται. Lh

book 273 γαστρίζομαι] τοῦτο ὡς πληγεὶς τῷ σκέλει εἰς τὴν γαστέρα. τὴν γαστέρα τύπτομαι. παρεπιγραφή· συγκέκυφε γὰρ καὶ ὑπὸ τῶν διωκόντων τύπτεται. ΕΓ3Lh

book 274a καταστρέφεις] δουλοῖς. ΕΓ3

book 274b καταστρέφεις] καταβάλλεις. Lh

book 275a ἀλλ’ ἐγώ σε τῇ βοῇ ταύτῃ γε πρώτῃ τρέψομαι: πλεῖόν σου βοῶν εἰς φυγὴν τρέψω. ΕΓ3Μ

book 275b τῇ βοῇ τρέψομαι] ἤγουν νικήσω σε βοῶν. Γ2

book 275c τῇ βοῇ τρέψομαι] ἤγουν πλέον σου βοῶν εἰς φυγὴν κινήσω, νικήσω. Lh

book 276a (I) τήνελλος εἶ: τήνελλα ἁρμονία λύρας. ἐὰν τοίνυν ὑπερακοντίσῃς αὐτόν, μουσικώτατος εἶ. VΕΓΘΜ (II) ἄλλως: νικηφόρος· τήνελλα γὰρ κρουμάτιον ἐπινίκιον. VΕΓΘΜ

book 276b τήνελλος] ἤγουν μουσικώτατος· τήνελλος γὰρ ἁρμονία λύρας. Lh

book 277a ἢν δ’ ἀναιδείᾳ παρέλθῃς: κἂν ἡττηθῇς, φησίν, ὑπ’ αὐτοῦ τῇ βοῇ, περιγένῃ δὲ ἐν ἀναιδείᾳ, οὐδὲν ἧττον ἡμετέρα ἡ νίκη. πυραμοῦς δὲ εἶδος πλακοῦντος ἐκ μέλιτος ἑφθοῦ καὶ πυρῶν πεφρυγμένων, ὡς καὶ σησαμοῦς τὸ διὰ σησάμης. ταῦτα δὲ ἐτίθεσαν ἆθλα τοῖς διαγρυπνηταῖς. εἰώθασι γὰρ ἐν τοῖς συμποσίοις ἁμιλλᾶσθαι περὶ ἀγρυπνίας, καὶ ὁ διαγρυπνήσας μέχρι τῆς ἕω ἐλάμβανε τὸν πυραμοῦντα. VΕΓΘ

book 277b ἡμέτερος ὁ πυραμοῦς: ἡμετέρα ἡ νίκη. πυραμοῦς δὲ εἶδος πλακοῦντος ἐκ μέλιτος ἑφθοῦ καὶ πυροῦ πεφυρμένος, ὡς καὶ ὁ σησαμοῦς διὰ σησάμης. ταῦτα δὲ ἐτίθεσαν ἆθλα τοῖς διαγρυπνηταῖς. εἰώθασι γὰρ ἐν τοῖς συμποσίοις ἁμιλλᾶσθαι περὶ ἀγρυπνίας, καὶ ὁ διαγρυπνήσας μέχρι τῆς ἕω νικήσας ἐλάμβανε τὸν πλακοῦντα, ἤγουν τὸν πυραμοῦντα. ὁ δὲ νοῦς ὅτι ἐὰν ἡττηθῇς ὑπ’ αὐτοῦ τῇ βοῇ, περιγένῃ δὲ τῇ ἀναισχυντίᾳ οὐδὲν ἧττον ἡμέτερον τὸ ἑρμαῖον, τουτέστιν ἡμετέρα ἡ νίκη. Μ

book 277c παρέλθῃς] νικήσεις, ἐκ μεταφορᾶς τῶν τρεχόντων. Lh

book 277d ἡμέτερος ὁ πυραμοῦς] ἤγουν ἡμετέρα νίκη· πυραμοῦς δὲ εἶδος πλακοῦντος. Lh

book 277e πυραμοῦς εἶδος πλακοῦντος ἐκ μέλιτος ἑφθοῦ καὶ πυρῶν πεφρυγμένων, ὥσπερ καὶ σησαμοῦς τὸ διὰ σησάμης. ταῦτα δὲ ἐτίθετο ἆθλα τοῖς ἀγρυπνοῦσιν. εἰώθασι γὰρ ἐν τοῖς συμποσίοις ἁμιλλᾶσθαι περὶ ἀγρυπνίας, καὶ ὁ διαγρυπνήσας μέχρι τῆς ἕω ἐλάμβανε τὸν πλακοῦντα. Lh

book 278a ἐγὼ δείκνυμι: ἐνδείκνυμι καὶ φαίνω. ἐνδεικνύναι δὲ ἔλεγον τὸ καταγγέλλειν τινὰ κακουργοῦντα περὶ τὰ κοινά. VΕΓ3ΘΜ

book 278b δείκνυμι] φανερὸν ποιῶν. Lh

book 279a (I) ζωμεύματα: τὰ τῶν νεῶν χρειώδη· λέγει δὲ ξύλα καὶ κηρὸν καὶ πίσσαν. VΕΓ3Θ (II) ἄλλως: τὰ λεγόμενα ὑποζώματα. εἰσὶ δὲ ξύλα τῶν νεῶν. ἀντὶ τοῦ εἰπεῖν ὑποζώματα, εἶπεν ὡς πρὸς μάγειρον παίζων ζωμεύματα, ὡς ἀρτύσεως ἔμπειρον καὶ ζωμευμάτων. ἀπείρητο δὲ ἀπὸ Ἀθηνῶν ἐξάγειν ξύλα καὶ πίσσαν. εἶχον δὲ καὶ οἱ Λακεδαιμόνιοι τριήρεις. VΕΓ3Θ

book 279b τὰ τῶν νεῶν χρειώδη. λέγει δὲ εἰς ξύλον καὶ κηρὸν καὶ πίσσαν, τὰ λεγόμενα ὑποζώματα. εἰσὶ δὲ ξύλα τῶν νεῶν. ὡς σκυτεὺς πρὸς μάγειρον δὲ παίζων εἶπε ζωμεύματα. ἀπείρητο δὲ ἀπὸ Ἀθηνῶν ἐξαγαγεῖν ξύλον καὶ πίτταν. εἶχον δὲ καὶ οἱ Λακεδαιμόνιοι τριήρεις, ἐπειδὴ ἦρχον νήσων τινῶν. Μ

book 279c τριήρεσι] ταῖς ναυσί. Lh

book 279d ζωμεύματα] ἤγουν ξύλα, ὑποζώματα τῶν νεῶν. ζωμεύματα δὲ εἶπεν, σκώπτων ὡς μάγειρον. Lh

book 279e

ἀντὶ τοῦ εἰπεῖν ξύλα, ὑποζώματα τῶν νεῶν, ζωμεύματα εἶπεν ὡς πρὸς μάγειρον. ἀπείρητο γὰρ ὑπ᾽ Ἀθηναίων ἐξάγειν ξύλα καὶ πίτταν. εἶχον γὰρ οἱ Λακεδαιμόνιοι τριήρεις. Lh

book 280 κενῇ τῇ κοιλίᾳ: ἀντὶ τοῦ πένης ὢν ἀναξίως ἐκ τῶν κοινῶν πεπλούτηκεν. ΕΓ3MLh

book 281a ἐκθεῖ πλέᾳ: ἔξεισιν, ἐκπορεύεται μεστῇ καὶ γεμούσῃ, τουτέστιν ἔξεισιν ἐκ τῆς πολιτείας γενόμενος πλούσιος. εἰσδραμὼν δὲ ἀντὶ τοῦ προσελθὼν τῇ πολιτείᾳ· ἐμφαντικῇ δὲ τῇ λέξει κέχρηται, ἵνα δείξῃ αὐτὸν ἐπιπεπηδηκότα βιαίως καὶ ἀναισχύντως τῇ πολιτείᾳ. πρυτανεῖον δὲ τόπος Ἀθήνησιν οὗ τὰς δημοσίας σιτήσεις ἐποιοῦντο· τιμὴ δ᾽ οὐκ ἐλαχίστη τοῖς δημοσίᾳ σιτουμένοις ἦν. VΕΓΘMLh

book 281b ἐσδραμὼν ἐς τὸ πρυτανεῖον] ὅτι ἀναξίως ἔτυχε τῆς ἐν πρυτανείῳ σιτήσεως. ΕΓ3

book 281c ἐκθεῖ] ἐκτρέχει. ΕΓ3

book 281d πρυτανεῖον] ἐν ᾧ εἰσὶν οἱ κοινοὶ θησαυροί. Lh

book 281e ἐκθεῖ πλέᾳ] ἐξέρχεται πεπληρωμένη. Lh

book 282a νὴ Δί᾽ ἐξαγαγών γε τἀπόρρητα: ἐπειδὴ ὁ Κλέων εἶπεν ἀπόρρητα, καὶ αὐτὸς εἶπε κρέα καὶ ἄρτον. λέγει οὖν ὅτι ἀναξίως ἔτυχεν ὁ Κλέων οὗ Περικλῆς οὐκ ἔτυχε, τῶν Ἀθηναίων μὴ παρασχόντων, ἤτοι ὑπὸ μεγαλοφροσύνης τοῦ ἀνδρὸς παραιτησαμένου, ἢ ὅτι ἐξοστρακισθεὶς οὐκ ἔτυχε τῆς ἐν πρυτανείῳ σιτήσεως ἢ ὅτι διὰ τοῦτο εἶπε κρέα καὶ ἄρτον, ἐπειδὴ οὐκ ἐξῆν τὰ θυόμενα Δημητρὶ καὶ Περσεφόνῃ ἔξω ἀφιεῖν. ὡς γοῦν αὐτὰ ἐκφέροντος κατηγορεῖ. VΕΓ3ΘMLh

book 282b τἀπόρρητα] ἀπηγορευμένα τῇ πόλει. Lh

book 283a καὶ τέμαχος: ἰχθῦς· ἰδίως δὲ τεμαχίτας ἰχθῦς, τοὺς μεγάλους ⟦καὶ⟧ κατακοπτομένους. VΕΓΘ

book 283b τέμαχος: τεμάχη, τὰ τῶν ἰχθύων τῶν μεγάλων κοπτόμενα κόμματα. M

book 283c τέμαχος] ἰχθύων τμήματα. ἰδίως γὰρ τέμαχος τὸ τῶν ἰχθύων τμῆμα. Lh

book 283d οὐκ ἠξιώθη] διὰ τὸ ἄγος. Lh

book 284a (ad vv. 284—302) ἀποθανεῖσθον αὐτίκα μάλα: διπλῆ καὶ εἴσθεσις 〈εἰς περίοδον〉 κώλων ιθʹ τροχαϊκῶν, ὧν τὰ μὲν ιεʹ ἀμοιβαῖα τῶν ὑποκριτῶν δίμετρα ἀκατάληκτα, τὰ δὲ δʹ ἐναλλὰξ καταληκτικά· καὶ μήποτε εἰσὶ δίστιχα τετράμετρα καταληκτικά. VΕΓΘ

book 284b ἀποθανεῖσθον αὐτίκα: εἴσθεσις τῆς διπλῆς ἐκ κώλων ὁμοίων τροχαϊκῶν ιθʹ, ὧν τὰ ηʹ δίμετρα ἀκατάληκτα, τὸ θʹ δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, τὰ ἑξῆς θʹ δίμετρα ἀκατάληκτα, τὸ δὲ ιθʹ, τὸ "-ρας ἔχοντα κοιλίας", ἑφθημιμερές, ὃ καλεῖται Εὐριπίδειον ἢ ληκύθιον. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος. Lh

book 284c αὐτίκα] εὐθὺς καὶ παραχρῆμα· Ἀττικὴ ἡ σύνταξις. VΕΓ3

book 284d αὐτίκα] παραχρῆμα. Lh

book 285a τριπλάσιον κεκράξομαί σου] τῷ κεκραγμῷ σου περιέσομαι ἀντὶ τοῦ νικήσω. VΕΓ3

book 285b κεκράξομαι] βοήσω. Lh

book 286 καταβοήσομαι βοῶν σε] τῇ βοῇ νικήσω σε. ΕΓ2MLh

book 287a κατακεκράξομαι] οἷον ὑπερκεκράξομαι. VΕΓ3

book 287b κατακεκράξομαί σε κράζων] τῇ κραυγῇ κατακρατήσω σου. Lh

book 289a κυνοκοπήσω σε: τυπτήσω σε καθάπερ κύνα. τοῦτο δὲ ὡς μάγειρος λέγει. ἔστι γὰρ κύων ἰχθὺς ποιός. ἅμα δὲ κυνείῳ σε δέρματι παίσω. ἔστι γὰρ τραχύτατον. VΕΓ3ΘM

book 289b τοῦτο ὡς μάγειρος λέγει, ἀντὶ τοῦ κατακόψω σε ὡς κύνα. ἔστι γὰρ κύων ἰχθύς. ἢ κυνείῳ σε δέρματι τύψω. ἔστι γὰρ τραχύτατον. Lh

book 289c κυνοκοπήσω σου τὸ νῶτον] ὡς κύνα σε τύψω. οὐδετέρως δὲ τὸ νῶτον. VΕΓ3MLh

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 290a περιελῶ ς’ ἀλαζονείας: οἷον ἀποδύσω σε καὶ παύσω τῶν ἀλαζονευμάτων. ἡ μεταφορὰ ἀπὸ τῶν ἐρεσσόντων. παύσω σε καὶ περικόψω τῆς ἀλαζονείας. περιελάσω, νικήσω. VΕΓ3ΘΜ

book 290b περιελῶ] νικήσω, ἀπὸ μεταφορᾶς τῶν ἐρεσσόντων. Lh

book 291a ὑποτεμοῦμαι τὰς ὁδούς σου: οὐκ ἐάσω σε λέγειν, προλήψομαι, νικήσω. τοῦτο ὡς πρὸς βυρσοδέψην. ὑποτέμνεται γὰρ τὰ δέρματα ἵνα παχέα φαίνηται. διαφέρει γὰρ τὸ τέμνειν τοῦ ὑποτέμνειν. ὅταν γὰρ ὑποτέμνηται 〈δέρμα〉, παχύτερον φαίνεται, ἀσθενέστερον δέ ἐστι. τέμνειν δὲ τὸ ὀρθὴν ποιεῖσθαι τὴν τομήν. τὸ γὰρ ἀνώμαλον τῆς τομῆς παχύτητος δόξαν ἐργάζεται. VΕΓ3ΘΜ

book 291b τοῦτο ὡς βυρσοδέψου κατηγορεῖ. ὑποτέμνεται γὰρ τὰ δέρματα ἵνα παχέα φαίνηται. διαφέρει γὰρ τὸ τέμνειν τοῦ ὑποτέμνειν. ὅταν γὰρ ὑποτέμνηται παχύτερα φαίνεται, ἀσθενέστερα δέ ἐστι. τέμνειν δέ ἐστι τὸ ὀρθὴν ποιεῖσθαι τὴν τομήν. τὸ γὰρ ἀνώμαλον τῆς τομῆς παχύτητος δόξαν ἐργάζεται. Lh

book 291c ὑποτεμοῦμαι τὰς ὁδούς σου] οὐκ ἐάσω σε λέγειν. Lh

book 292a ἀσκαρδάμυκτος: μὴ μύσας τοὺς ὀφθαλμούς. σκαρδαμυκτεῖν γὰρ τὸ σκαίρειν καὶ μύειν τοὺς ὀφθαλμούς, τὸ πυκνῶς βλεφαρίζειν, ὃ καὶ ἰλλωπεῖν λέγεται. ἀσκαρδαμυκτεῖν δέ, προτεθέντος τοῦ α, τὸ ἀτενὲς βλέπειν τὸν ἥλιον. φησὶν οὖν ὅτι ἀτενὲς εἰς ἐμὲ βλέψον, ὡς ἐν τούτῳ καταπληξόμενος τὸν ἀλλαντοπώλην. VΕΓ3ΘΜ

book 292b ἀσκαρδαμύκτως] ἀτενῶς, ἀναιδῶς. ΕΓ3Μ

book 292c ἀσκαρδάμυκτος] μὴ μύσας τοὺς ὀφθαλμούς, ἤγουν ἀναιδῶς. Lh

book 293 κἀγὼ] σεμνύνεται ὡς ἐν ἀγορᾷ τεθραμμένος. ΕΓ3ΜLh

book 294a (I) διαφορήσω ς’ εἴ τι γρύξεις: ἔπαιξε παρὰ τὸ “διαφορεῖν”. καλῶς δὲ ὡς ἐπὶ μαγείρου καὶ ἀλλαντοποιοῦ κέχρηται. VΕΓ3ΘΜ (II) ἄλλως: διασπάσω, διολέσω. ἄλλως τε καὶ οὐκ ἀχρήστως τῇ λέξει ἐπὶ μαγείρου καὶ ἀλλαντοπώλου. οὗτοι γὰρ τὰ ἔντερα πλύνοντες ἐξ ἀνάγκης τῆς ἀπ’ αὐτῶν πληροῦνται κόπρου. παρατηρητέον δὲ ὅτι ἐν πᾶσιν ἀμείβεσθαι τοῖς ἴσοις πειρᾶται τὸν Κλέωνα. VΕΓΘΜ

book 294b διαφορήσω] κόπρου πλήσω· παίζει δὲ ὡς 〈πρὸς〉 μάγειρον. Lh

book 294c τι γρύξεις] φθέγξῃ τι. Lh

book 295a (I) κοπροφορήσω σε: κόπρου σε πληρώσω. ἔπαιξε δὲ παρὰ τὸ “διαφορήσω σε”. οἱ μάγειροι γὰρ τὰ ἔγκατα πλύνοντες ἀναγκαίως πληροῦνται κόπρου. VΕΓ3Θ (II) ἄλλως: τὴν κόπρον σου ἐκφορήσομαι τύπτων σε. ἢ ὡς βυρσοδέψῃ, ὅτι κόπρῳ τὰς βύρσας ἐθεράπευον. VΕΓ3ΘΜ

book 295b κοπροφορήσω ς’] κόπρον σου ἀποφορήσω, κόπρου πληρώσω σε. Μ

book 295c κοπροφορήσω] ὅμοιον τῷ ῥηθέντι. οἱ μάγειροι γὰρ τὰ ἔγκατα πλύνοντες τῆς ἀπ’ αὐτῶν πληροῦνται κόπρου. Lh

book 295d παρατηρητέον ὅτι ἐν πᾶσιν ἀμείβεσθαι τοῖς ἴσοις πειρᾶται τὸν Κλέωνα. Lh

book 296 ὁμολογῶ κλέπτειν: τοῦτο παρ’ ὑπόνοιαν λέγει, ὡς ἂν εἰ ἔλεγε “σώφρων εἰμὶ καὶ πεπαιδευμένος”. ὁ δὲ αὐχεῖ ἐπὶ τῷ κλέπτειν. ἃ κλέπτω, ὀμνύω μὴ κεκλοφέναι, ὅ ἐστιν ὑπερβολὴ ἐπιορκίας. VΕΓ3ΘΜ

book 297a νὴ τὸν Ἑρμῆν τὸν ἀγοραῖον: προπερισπωμένως ἐπὶ τοῦ θεοῦ. ἐν μέσῃ γὰρ τῇ ἀγορᾷ ἵδρυται Ἑρμοῦ ἀγοραίου ἄγαλμα. πλεονεκτεῖν δὲ αὐτὸν πειρᾶται μὴ μόνον κλέπτων ἀλλὰ καὶ διαρρήδην ἐπιορκῶν. οἷον ἐμά ἐστι ταῦτα τὰ ἐπιχειρήματα. ἀμφότεροι δὲ ἁμιλλῶνται τίς ἐστιν αὐτῶν χείρων. VΕΓΘΜ

book 297b

νὴ τὸν Ἑρμῆν τὸν ἀγοραῖον: 〈οἱ μὲν〉 διαιροῦσιν ἀπὸ τοῦ “νὴ τὸν Ἑρμῆν” τοὺς τρεῖς στίχους· οἱ δὲ τοὺς δύο συνάπτουσιν. ἐν μέσῃ δὲ τῇ τῶν Ἀθηναίων ἀγορᾷ ἵδρυται καὶ μέχρι τοῦ νῦν ναὸς Ἑρμοῦ· εἰκότως οὖν ὡς ἀγοραῖον ὄμνυσι τοῦτον. καὶ ὅτι κλεπτίστατον τοῦτον ἀξιοῦσιν εἶναι. M

book 297c ἀγοραῖον] ἵδρυτο γὰρ ἐν τῇ ἀγορᾷ Ἑρμοῦ εἴδωλον. Lh

book 298a κἀπιορκῶ γε βλεπόντων: οἷον ὁρώντων ὅτι κλέπτω, ὀμνύω ὅτι οὐκ ἔκλεψα. τοῦτο δὲ προστέθεικεν ὁ Ἀγοράκριτος, ὅτι πλεονεκτεῖ ἐκεῖνον καὶ μᾶλλον πονηρὸς εἶναι δοκεῖ, εἰ οὐ κλέπτει μόνον, ἀλλὰ καὶ φανερῶς ἐπιορκεῖ. VEΓ3ΘM

book 298b κἀπιορκῶ γε βλεπόντων] οἷον ὁρώντων ὅτι κλέπτω, ἐπιορκῶ ὅτι οὐ κλέπτω ὀμνύων. Lh

book 299a ἀλλότρια τοίνυν σοφίζῃ: τεχνάζει· σοφίας γὰρ ἔλεγον τὰς τέχνας. τὰ ἀλλότρια λέγεις, φησίν. ἐμὰ γάρ ἐστι ταῦτα τὰ ἐπιχειρήματα. ὡς εἰ ἔλεγε, τὰ ἐμὰ τοίνυν κλέπτεις. VEΓΘM

book 299b ἀλλότρια] ξένα. Lh

book 299c σοφίζει] μετὰ ἀπάτης καὶ τέχνης σοφιστικῆς κλέπτει. Lh

book 300a φανῶ] ἐμφανίσω, κατηγορήσω. EΓ3Lh

book 300b φανῶ] φανερὸν ποιήσω. M

book 300c τοῖς πρυτάνεσιν: ὅτι ἀναξίως ἔτυχε τῆς ἐν πρυτανείῳ σιτήσεως. ἔστι δὲ πρυτανεῖον τόπος ἐν Ἀθήναις οὗ τὰς δημοσίας σιτήσεις ἐποιοῦντο. τιμὴ δὲ οὐκ ἐλαχίστη προσῆν τοῖς τῆς δημοσίας τραπέζης τυχοῦσιν, ἐπεὶ καὶ ἀντὶ μεγάλων εὐεργεσιῶν καὶ κατορθωμάτων ἠμείβοντο τοὺς εὐεργετήσαντας αὐτοὺς τῇ δωρεᾷ. M

book 301 ἀδεκατεύτους τῶν θεῶν: μὴ δεδωκότα ἀπ’ αὐτῶν τὴν δεκάτην μοῖραν τοῖς θεοῖς. ἔθος γὰρ εἶχον τὰς δεκάτας τῶν θυομένων τοῖς πρυτάνεσιν οἱ μάγειροι διδόναι. ὁ Κλέων δὲ λέγει οἱονεὶ ἀδεκάτευτον ἔχων οὐσίαν, ὁ δὲ ἀντὶ οὐσίας κοιλίας ἐπήνεγκεν ὡς ἀλλαντοπώλῃ. VEΓΘMLh

book 302a κοιλίας] οὐσίας ἔδει εἰπεῖν, ὁ δὲ ὡς μάγειρος κοιλίας. Lh

book 302b ἱε < ρὰς. Lh

book 303a (ad vv. 303—11) ὦ μιαρὲ καὶ βδελυρέ: διπλῆ καὶ εἴσθεσις εἰς περίοδον κώλων θʹ, ἧς τὸ πρῶτον παιωνικὸν δίρρυθμον, τὸ δεύτερον ἐκ κρητικοῦ καὶ δοχμίου, τὰ δὲ λοιπὰ ἑπτὰ παιωνικὰ δίρρυθμα. VEΓΘM

book 303b (ad vv. 303—21) ὦ μιαρὲ καὶ βδελυρέ: κορωνὶς καὶ εἴσθεσις χοροῦ ἐπῳδική, διὰ τὸ τίθεσθαι μετὰ τὴν διπλῆν, ἐκ κώλων παιωνικῶν ἐπιμεμιγμένων κρητικοῖς καὶ βακχείοις θʹ. ὧν τὸ πρῶτον δίμετρον ἀκατάληκτον ὃ καλεῖται δίρρυθμον, τὸ δεύτερον τρίμετρον βραχυκατάληκτον, τοῦ πρώτου ποδὸς κρητικοῦ, τοῦ δὲ δευτέρου βακχείου. τὰ ἑξῆς δʹ ὅμοια τῷ πρώτῳ ἐκ κρητικῶν, τὰ δὲ τούτων ἑξῆς γʹ ὅμοια, τοῦ δευτέρου ποδὸς κρητικοῦ. ἐν ἐκθέσει 〈δὲ〉 στίχοι τροχαϊκοὶ τετράμετροι ἀκατάληκτοι ὅμοιοι τοῖς ἑξῆς. ἐπὶ 〈τῷ〉 τέλει κορωνίς. ἑξῆς δὲ ἐν εἰσθέσει σύστημα ἀμοιβαῖον ἐκ στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν ηʹ. ἐπὶ τῷ τέλει παράγραφος. Lh

book 303c στροφὴ κώλων ιαʹ. Lh

book 303d βδελυρὲ] αἰσχρέ. Lh

book 304 κρᾶκτα] λάλε. Lh

book 305a πλέα] πεπλήρωται. EΓ3

book 305b πλέα] πεπληρωμένη. Lh

book 307a καὶ τέλη καὶ γραφαί: τὰ τελώνια καὶ αἱ ἀρχαί. τελώνης γὰρ ἦν καὶ ἐμίσθου τὰ τέλη, τουτέστι τὰ τάγματα. VEΓΘMLh

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 307b τέλη] τελώνια. M

book 307c καὶ τέλη καὶ γραφαί] τελώνης γὰρ ἦν καὶ μισθοῦ τὰ τέλη κηρύττων. τέλη δὲ τὰ τελώνια. M

book 309a ὦ βορβοροτάραξι: ταραχωδέστατε, ταράττων ἡμῶν τὴν πόλιν ὡς βόρβορον. θορύβου πληρώσας τὴν πόλιν καὶ βορβόρου. VEΓΘM

book 309b βορβοροτάραξι] ὡς βόρβορον ταράττων ἡμῶν τὴν πόλιν. Lh

book 311a ἀνατετυρβακώς: ἀναταράξας. τυρβάσαι δὲ κυρίως λέγεται τὸ τὸν πηλὸν ταράξαι. VEΓΘMLh

book 311b ἀνατετυρβακώς] ταράξας. M

book 312a (ad vv. 312—21) διπλῆ· στίχοι τροχαϊκοὶ τετράμετροι κατάληκτοι δέκα. EΓ2

book 312b ἐκκεκώφηκας: βοῆς ἐπλήρωσας τὰς ἀκοάς. VEΓ3Lh

book 312c ἐκκεκώφηκας] δέον εἰπεῖν τὰς ἀκοάς. Γ2

book 313a κἀπὸ τῶν πετρῶν ἄνωθεν τοὺς φόρους θυννοσκοπῶν: ἐπειδὴ οἱ θυννοσκόποι ἐπὶ ὕψους ἱστάμενοι τὴν κατασκοπὴν τῶν εἰσιόντων θύννων εἰς τὰ δίκτυα ποιοῦνται. φησὶν οὖν ὅτι καθάπερ τοὺς θυννοσκόπους εἰσιόντες εἰς τὸ δίκτυον οὐ λανθάνουσιν οἱ θύννοι, οὕτως οὐ λανθάνουσι τὸν Κλέωνα τῆς πόλεως ἐπιβαίνοντες οἱ τοὺς φόρους φέροντες. προαρπάζει οὖν δέον τὴν πόλιν τὰ ἑαυτῆς λαμβάνειν. ὀνειδίζει οὖν αὐτῷ, ὅτι τὰ δημόσια νοσφίζεται χρήματα, ἅμα δὲ καὶ εἰς ὀψοφαγίαν διαβάλλει. ἀπὸ μεταφορᾶς δὲ τοῦτο εἶπε τῶν ἁλιέων τῶν ἀγρευόντων τοὺς θύννους. VEΓΘM

book 313b θυννοσκοπῶν] ἐπιτηρεῖς ὡς οἱ θυννοσκόποι τοὺς θύννους. Lh

book 313c ὥσπερ οἱ θυννοσκόποι ἐπὶ ὕψους ἱστάμενοι τὴν κατασκοπὴν τῶν εἰσιόντων θύννων εἰς τὰ δίκτυα ποιοῦνται, οὕτως οὐ λανθάνουσι καὶ τὸν Κλέωνα τῆς πόλεως ἐπιβαίνοντες οἱ τοὺς φόρους φέροντες. ὀνειδίζει οὖν αὐτὸν ὅτι τὰ τῆς πόλεως νοσφίζεται χρήματα. ἅμα δὲ καὶ εἰς ὀψοφαγίαν διαβάλλει. Lh

book 314a καττύεται: συντίθεται καὶ ῥάπτει κατ’ ἐμοῦ. ἀστείως δὲ τῇ λέξει κέχρηται ὡς βυρσοδέψης ἀπὸ τῶν ὑποδημάτων. VEΓΘM

book 314b καττύεται] συντίθεται καὶ ῥάπτεται κατ’ ἐμοῦ. Lh

book 314c σύστημα κατὰ περικοπήν. Lh

book 315a χορδεύματα: ἑξῆς καὶ οὗτος ὡς μάγειρος ἀπεκρίνατο. χορδεύματα γὰρ καὶ χορδαὶ καλοῦνται τὰ ἔντερα. VEΓΘM

book 315b κάττυμα] τὸ ἄκρον δέρμα. Γ2

book 315c κάττυμα] τμῆμα δέρματος. Lh

book 315d χορδεύματα] ἤγουν ἔντερα, ὡς μάγειρος γὰρ ταῦτα ἀπεκρίνατο. Lh

book 316a ὅστις ὑποτέμνων: ὅταν γὰρ ὑποτέμνηται παχύτερα γίνονται. τὸ γὰρ ἀνώμαλον τῆς τομῆς παχύτητος δόξαν ἐργάζεται. τέμνειν δέ ἐστι τὸ ὀρθὴν ποιεῖσθαι τὴν τομήν. M

book 316b μοχθηροῦ βοός: θανασίμου ἢ ἀσθενοῦς, ἰσχνοῦ καὶ λεπτοβυρσοῦ. καὶ τοῦτο δὲ ὡς βυρσέα σκώπτει. VEΓΘM

book 316c ὑποτέμνων] πλαγίως τέμνων καὶ οὐκ ὀρθῶς. Lh

book 316d μοχθηροῦ] πολλὰ μοχθήσαντος καὶ ἐξασθενήσαντος τῷ χρόνῳ. Lh

book 317a τοῖς ἀγροίκοισι πανοῦργος: εἰς ὑποδήματα ⟦τοῖσ⟧ αὐτοῖς κακῶς τὰς βύρσας τέμνων. καττύματα δὲ τὰ ἄκρα δέρματα καὶ εἰς λεπτὸν τετμημένα, ἃ προστίθεται τοῖς σανδαλίοις. τοῦτο δὲ εἶπεν ὡς πρὸς σκυτέα. VEΓ3ΘM

book 317b totus versus] ταῦτα ἐποίουν καὶ οὕτως ἔτεμνον οἱ βυρσοπῶλαι. EΓ3

book 317c τοῖς ἀγροίκοισι] τοῖς ἐν ἀγροῖς οἰκοῦσι. Lh

book 317d πανούργως] μετὰ μηχανῆς τοῦτο ποιῶν· τὰ γὰρ πλαγίως τεμνόμενα δέρματα παχέα φαίνεται. Lh

book 318a (I) δυοῖν δοχμαῖν: παίζων καὶ αὐτὸς παλαιστὰς ἐξετείνετο· δοχμὴ γὰρ ἡ παλαιστή. VΕΓΘMLh
(II) ἄλλως: δύο παλαιστάς· ἐκτεινόμενα γὰρ τὰ ἰσχνὰ τῶν δερμάτων εἰς πλάτος αὔξεται. VΕΓ3ΘMLh

book 318b φορῆσαι] ὑποδήσασθαι τὸ τοιοῦτον δέρμα. Lh

book 318c δοχμαῖν] ἤγουν παλαιστῶν· δραχμῶν δὲ ὤφειλεν εἰπεῖν. Lh

book 319a κἀμὲ τοῦτ’ ἔδρασε: τὸν αὐτὸν τρόπον καὶ ἡμᾶς ἐξηπάτηκεν, ὥστε καταγελάστους γενέσθαι. VΕΓ3M

book 319b κἀμὲ τοῦτ’ ἔδρασε] τὸν αὐτὸν τρόπον καὶ ἐμὲ ἐξηπάτησεν, ὥστε καταγελάστους γενέσθαι τοὺς Ἀθηναίους τοιούτους τρέφοντας. Lh

book 320a παμπολὺν τοῖς δημόταισι: διαβολὴ τῶν Ἀθηναίων εἰ καὶ δούλου παρ’ αὐτοῖς ὁ δῆμος ἀπαγγέλλεται. ΕΓ3M

book 320b τοῖς δημόταισι] διαβάλλει τοὺς Ἀθηναίους εἰ καὶ δοῦλος αὐτῶν Δημοσθένης τυγχάνει. Lh

book 320c παρασχεθεῖν] παρέχειν. Lh

book 321a ἔνεον ἐν ταῖς ἐμβάσιν: ἐκολύμβων, ἐνηχόμην ἐν τοῖς ὑποδήμασιν. ἐμβάδες δὲ ἐρρήθησαν ἀπὸ τοῦ ἐμβαίνειν αὐτοῖς. ἐκτεινομένων γὰρ καὶ πλατυνομένων εὐχερῶς τῶν δερμάτων, ἐκολύμβων ἐν αὐτοῖς ἐκ τοῦ μηκέτι ἡρμοσμένα τοῖς ποσὶ τῶν φορούντων αὐτὰ εἶναι. VΕΓ2ΘM

book 321b ἐμβάδες εἴρηνται ἀπὸ τοῦ ἐμβαίνειν ἐν αὐταῖς τοὺς πόδας. ἐκτεινομένων γὰρ καὶ πλατυνομένων εὐχερῶς τῶν δερμάτων, ἐκολύμβων οἷον ἐν αὐταῖς ἐκ τοῦ μηκέτι ἡρμοσμένας τοῖς ποσὶ τῶν φορούντων εἶναι. Lh

book 321c Περγασῆσιν] ὄνομα δήμου. ΕΓ2Lh

book 321d ἔνεον] ἐνηχόμην εἰς τὰ ὑποδήματα. Lh

book 322a (ad vv. 322—5) τὰ τέτταρα παιωνικὰ δίρρυθμα. ΕΓ2

book 322b (ad vv. 322—34) ἆρα δῆτ’ οὐκ ἀπ’ ἀρ–: κορωνίς. εἴσθεσις χοροῦ προῳδικὴ διὰ τὸ ἀεὶ προτίθεσθαι τῆς διπλῆς, ἐκ κώλων καὶ στίχων ιβʹ. ὧν τὰ πρῶτα γʹ παιωνικὰ δίμετρα ἀκατάληκτα ἃ καλεῖται κρητικὰ δίρρυθμα. τὸ δὲ δʹ τροχαϊκὸν ἑφθημιμερὲς ὃ καλεῖται Εὐριπίδειον ἢ ληκύθιον, ὁ εʹ καὶ ϛʹ τροχαϊκοὶ τετράμετροι καταληκτικοί, ὁ ζʹ καὶ ηʹ δακτυλικοὶ τετράμετροι (κατὰ μονοποδίαν γὰρ μετρεῖται τὰ δακτυλικά), ὁ θʹ καὶ ιʹ τροχαϊκοὶ τετράμετροι καταληκτικοί, οἱ δὲ ἑξῆς βʹ ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ ὅμοιοι τοῖς ἑξῆς. εἰσὶ δὲ καὶ ταῦτα πολυσχημάτιστα κατὰ τὸν εἰρημένον τρόπον. ἐπὶ τῷ τέλει κορωνίς. Lh

book 322c (ad vv. 322—34) στροφὴ ἑτέρα κώλων ιβʹ. Lh

book 322d ἆρα δῆτ’ οὐκ ἀπ’ ἀρχῆς] πρὸς τὸν ἀλλαντοπώλην. VΕΓ3Lh

book 325a προστατεῖ τῶν ῥητόρων: προηγεῖται, προέστηκε, παρακολουθεῖ. μόνη γάρ, φησί, προηγεῖται τῶν ῥητόρων ἡ ἀναίδεια. VΕΓΘM

book 325b προστατεῖ] προέστηκε, προηγεῖται. καθάπτεται τῶν ῥητόρων ὡς ἀναιδῶν. Lh

book 326a ἀμέλγεις τῶν ξένων τοὺς καρπίμους: τοὺς εὐπόρους τῶν ξένων διασείεις, τοὺς πλουσίους καὶ εὐποροῦντας. ἀμέλγεις δὲ ἀποδρέπεις, ἀπανθίζεις, τρυγᾷς, καρπίζῃ. ἰδίως δὲ ἀμέλγειν λέγεται τὸ παρὰ τὸν προσήκοντα καιρὸν ἀώρους τοὺς κάρπους ἀποσπᾶν, ὅπερ οἱ κλέπται ποιοῦσιν. VΕΓΘM

book 326b

ἀμέλγειν ἐστὶ τὸ ἀμφοτέραις ταῖς χερσὶ τῶν οὐθάτων τῶν ζῴων ἅπτεσθαι καὶ ἐξέλκειν τὸ γάλα. οἱ δὲ παρὰ τὸν προσήκοντα καιρὸν τοὺς ἀώρους καρποὺς ἀποσπᾶν, ὅπερ οἱ κλέπται ποιοῦσιν. Lh

book 326c ἦ σὺ πιστεύων] πρὸς τὸν Κλέωνα. Γ3Lh

book 326d ἀμέλγεις] ἤγουν λαμβάνεις τὰ αὐτῶν πράγματα· τοῦτο δὲ παρὰ τὴν κοινὴν συνήθειαν εἴρηται. Lh

book 327a (I) ὁ δ' Ἱπποδάμου: οὗτος ἐν Πειραιεῖ κατῴκει καὶ οἰκίαν εἶχεν, ἥνπερ ἀνῆκε δημοσίαν εἶναι. καὶ πρῶτος αὐτὸς τὸν Πειραιᾶ κατὰ τὰ Μηδικὰ συνήγαγεν. ἦν δὲ Ἀθηναίοις τίμιος. πικρῶς οὖν λέγει ὅτι σὺ μὲν ἀνάξιος ὢν σφετερίζῃ καὶ ἀπὸ πάντων κερδαίνεις, ὁ δὲ εὐνούστατος 〈ὢν〉 τῇ πόλει καταλείβεται δάκρυσιν, ἀναξίως ὁρῶν σε τὰ τῆς πόλεως καρπούμενον. λυπεῖται, φησίν, ὁ Ἀρχεπτόλεμος. οὗτος γὰρ πολλὰ ὠφέλησε τὴν πόλιν. .... καὶ οἱ μὲν αὐτόν φασι Θούριον, οἱ δὲ Σάμιον, οἱ δὲ Μιλήσιον. Κλέωνος δὲ ἐχθρὸς ἦν. VEΓΘM (II) ἄλλως: Ἱπποδάμου μόνου λείπεται καὶ ἡττᾶται. διεβάλλετο γὰρ ἐπὶ πολυφαγίᾳ ὁ Ἱππόδαμος. ὡς οὖν τοῦ Κλέωνος ὄντος γαστριμάργου, παρευδοκιμουμένου δὲ ὑπὸ τοῦ Ἱπποδάμου, κέχρηται τῇ συγκρίσει χρησιμώτατα· ὁμοῦ γὰρ καὶ τὸν Ἱππόδαμον καὶ τὸν Κλέωνα διαβάλλει. VEΓΘM

book 327b ὁ δ' Ἱπποδάμου] λείπει ὁ ὀφθαλμός. EΓ2

book 327c ὁ δ' Ἱπποδάμου υἱὸς Ἀρχεπτόλεμος ἐν Πειραιεῖ κατῴκει καὶ οἰκίαν εἶχεν ἥνπερ ἀνῆκε δημοσίαν εἶναι. καὶ πρῶτος αὐτὸς τὸν Πειραιᾶ κατὰ τὰ Μηδικὰ συνήγαγεν. ἦν δὲ Ἀθηναίοις τίμιος. φησὶ γοῦν ὅτι σὺ μὲν ἀνάξιος ὢν σφετερίζῃ καὶ ἀπὸ πάντων κερδαίνεις, ὁ δὲ εὐνούστατος τῇ πόλει καταλείβεται τοῖς δάκρυσιν, ἀναξίως ὁρῶν σε τὰ τῆς πόλεως καρπούμενον. Lh

book 327d ὁ δ' Ἱπποδάμου] υἱός, ὁ Ἀρχεπτόλεμος. Lh

book 327e λείβεται] καταστάζεται τοῖς δάκρυσιν ὁρῶν σε τὰ τῆς πόλεως καρπούμενον. Lh

book 328a (ad vv. 328—9) ἐν εἰσθέσει κῶλα β′ δακτυλικὰ δίμετρα, ἀκατάληκτον τὸ α′, τὸ δὲ β′ καταληκτικόν. VE

book 328b ἐφάνη] εὑρέθη, καταφανὴς ἐγένετο. VEΓ3Lh

book 328c ἀνὴρ] ὁ Ἱππόδαμος ἢ ὁ Ἀρχεπτόλεμος. VEΓ3Lh

book 330a (I) ὅς σε παύσει: καταπαύσει σε, παρευδοκιμήσει σε. πάρεστιν ἐγγὺς οὗτος καὶ πλησίον καὶ οὐκ εἰς μακράν. VEΓΘM (II) ἄλλως: ὑπερβαλεῖ σε, παραδραμεῖται, νικήσει σε. καὶ Ὅμηρος "ἐπεὶ οὐ παρελεύσεαι οὐδέ με πείσεις". VEΓΘ

book 330b παύσει] καταπαύσει. Lh

book 330c πάρεισι] ἐγγύς ἐστιν. Lh

book 331a κοβαλικεύμασι: τῷ κολακεύειν καὶ πρὸς χάριν δημηγορεῖν, ἐπεὶ καὶ ὁ Κλέων ἐδόκει παρὰ τοῖς Ἀθηναίοις εὐδοκιμεῖν διὰ τὸ πρὸς ἡδονὴν καὶ χάριν δημηγορεῖν. καὶ ὅλως δι' ὧν φησι τοῦτον παρευδοκιμήσειν, τὸν Παφλαγόνα, διὰ τούτων διαβάλλει τὸν Κλέωνα, δεικνὺς ὅτι τὰ τοιαῦτα πάντα πρόσεστιν αὐτῷ, δι' ὧν ἤρθη μέγας. VEΓ3ΘM

book 331b κοβαλικεύμασι] τῇ κακοτεχνίᾳ καὶ θρασύτητι καὶ ἀναισχυντίᾳ καὶ δολιότητι. καὶ ὁ Κλέων γὰρ πρὸς χάριν καὶ κολακείαν ἐδημηγόρει. VELh

book 331c κοβαλικεύμασι] πανουργεύμασι. V

book 331d κοβαλικεύμασι] πανουργίαις. Γ3Lh

book 333a (ad vv. 333—66) δίστιχον ἐπάγουσι τοῦ χοροῦ ἰαμβικὸν τετράμετρον καταληκτικόν. ἑξῆς ἕπονται στίχοι ⟦δύο⟧ ὅμοιοι ἴαμβοι τετράμετροι καταληκτικοὶ λβ′. M

book 333b ἀλλ’ ὦ τραφεὶς: τοιαύτης ἀνατροφῆς μετασχών, τουτέστι πονηρᾶς καὶ κακῆς. ὅθεν οἱ ἀνατραφέντες ἄνδρες, οἱ ἔξαρχοι καὶ πρωτεύοντες ἢ οἱ ἀνδρεῖοι Ὁμηρικῶς. VEΓΘM

book 333c ἀλλ’ ὦ τραφεὶς] πρὸς τὸν ἀλλαντοπώλην. Γ2

book 333d ἀλλ’ ὦ τραφεὶς] ἤγουν ὁ ἀνατροφῆς πονηρᾶς τυχὼν καὶ κακῆς. Lh

book 333e ὅθενπέρ εἰσιν ἄνδρες] ἔξαρχοι καὶ πρῶτοι ἢ ἀνδρεῖοι Ὁμηρικῶς. Lh

book 333f οἵπερ εἰσίν] οἱ νῦν ὄντες. Γ2

book 334a τὸ σωφρόνως τραφῆναι: τὸ ἐπιεικῶς καὶ εὐγενῶς ἀνατραφῆναι. τὸν ἀλλαντοπώλην δὲ βουλόμενος διαβάλλειν, δείκνυσιν αὐτὸν πονηρῶν ἠθῶν. ἀλλὰ λεληθότως δι’ ὧν περὶ τούτου λέγει ὀνειδίζει τοὺς ἄλλους πολιτευομένους ὡς ἀπὸ τοιούτων ὁρμωμένους ἐπιτηδευμάτων εὐδοκιμοῦντας. VEΓ3ΘMLh

book 334b ὡς οὐδὲν λέγει] ὡς οὐδενός ἐστιν ἄξιον, οὐδὲν πλέον λέγει. EΓ3Lh

book 334c σωφρόνως] ἐπιεικῶς καὶ εὐγενῶς. MLh

book 334d Lh

book 335a (ad vv. 335—66) καὶ μὴν ἀκούσαθ’ οἷος: εἴσθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν τετραμέτρων καταληκτικῶν λβʹ, ὧν τελευταῖος “νὴ τὸν Ποσειδῶ, κἀμὲ γὰρ ἤνπερ γε τοῦτον ἕλκῃς”. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Lh

book 335b ※ Lh

book 336a οὐκ αὖ μ’ ἐάσεις: οὐκ ἐπιτρέψεις, οὐ συγχωρήσεις μοι. ὁ δὲ Κλέων ἐστὶν ὁ λέγων, πρὸς τὸν ἀλλαντοπώλην. ἐπιστομίζει γὰρ αὐτὸν ἐκεῖνος βουλόμενον λέγειν. VEΓ3ΘM

book 336b οὐκ αὖ μ’ ἐάσεις] οὐ συγχωρήσεις, ἐπιτρέψεις πρῶτον λέγειν. Lh

book 337a ὑπείκῃ] ἐνδίδωσι. Γ2

book 337b ὑπείκῃ] παραχωρεῖ. Γ3

book 339a totus versus] λέγει ὁ χορὸς τοῦτο αὐτός. Γ2

book 339b prius μὰ Δία] οὐ. Lh

book 340a οὐ παρήσω: οὐ παραχωρήσω. πρὸς δὲ τὸ οὐκ ἐάσεις, “οὐ παρήσω” εἶπεν. 〈οὐ παρήσω〉, εἰπεῖν πρῶτον δηλονότι· ἀμφιβόλως δὲ εἶπεν. λέγων γὰρ 〈οὐ παρήσω〉 ⟦οὐκ ἂν πρώτῳ λέγειν ἐπιτρέψαιμί σοι⟧, ἔδοξεν εὐφημότερον ἀποκρίνεσθαι πρὸς τὸ ὑπ’ ἐκείνου ῥηθὲν “διαρραγήσομαι”. διόπερ ἑξῆς ὁ χορὸς ἀπεκρίνατο, “πάρες πρὸς τῶν θεῶν διαρραγῆναι”. VEΓΘM

book 340b διαρραγήσομαι] εἰ μὴ πρῶτος λέξω. Lh

book 340c παρήσω] παραχωρήσω διαρραγῆναι ἢ πρῶτον εἰπεῖν. Lh

book 341a 〈πάρες: τοῦ Κλέωνος εἰπόντος “διαρραγήσομαι”〉 καὶ τοῦ ἀλλαντοπώλου εἰπόντος “οὐ παρήσω”, ὁ χορὸς πρὸς τὸ εἰρημένον φησὶν ὅτι πάρες αὐτῷ διαρραγῆναι. VEΓ3M

book 341b πάρες] παίζων τοῦτό φησι. Lh

book 342 τῷ καὶ πεποιθὼς] τίνι καὶ πεποιθὼς τολμᾷς ἐμοὶ φιλονεικεῖν καὶ διαλέγεσθαι; ELh

book 343a ὁτιὴ λέγειν οἷός τε κἀγώ: δυνατός εἰμι καὶ ἱκανὸς καὶ ἐγὼ εἰπεῖν. VEG3MLh

book 343b καρυκκοποιεῖν: κοσμεῖν ποικιλίᾳ τινὶ ῥημάτων τὸν λόγον. πλαγίως δὲ τῇ λέξει ὡς μάγειρος ἐχρήσατο. καρυκκεύματα γὰρ ἡδύσματά εἰσι, τὰ ἀρτύματα, καὶ καρύκκη κοιλία, ἣν νῦν μονθυλευτὴν καλοῦσιν. VEΓ2ΘM

book 343c καρυκκοποιεῖν] κοσμεῖν καὶ ποικίλλειν τὸν λόγον. Lh

book 343d

καρυκεύματα καὶ ἡδύσματά εἰσι τὰ ἀρτύματα δι’ ὧν κοσμοῦσι τὰς χύτρας οἱ μάγειροι, καὶ καρύκκη κοιλία, ἣν νῦν μονθυλευτὴν καλοῦσιν. Lh

book 344a ἰδοὺ λέγειν: χλευάζει αὐτὸν ὅτι δύναμαι λέγειν λέγοντα. τῇ δὲ τοῦ σχήματος ἐμφάσει τὸν διασυρμὸν ἔδειξεν. φησὶ γάρ, ἀφόρητόν ἐστιν εἰ καὶ σὺ ῥήτωρ εἶ. VΕΓ2ΘMLh

book 344b ἰδοὺ λέγειν] χλευάζει αὐτὸν εἰπόντα ὡς δύναται λέγειν. Lh

book 345a (I) ὠμοσπάρακτον: ἀστείως καὶ οὗτος ὡς πρὸς μάγειρον. ὁ δὲ νοῦς αὐτῷ τοῦτο βούλεται· εἰ πρᾶγμα, φησί, σκολιὸν προσπέσοι, οὐκ ἄν ποτε κατορθώσαις οὐδὲ διανύσαις. ὠμοσπάρακτον δέ, δυνάμενον σπαράξαι τὸν λέγοντα. VΕΓΘΜ (II) ἄλλως: ἀδιάθετον καταλαβὼν καὶ ὠμόν. ὡς πρὸς μάγειρον δὲ τὸ ὠμοσπάρακτον ⟦ἢ τὸ νεοσπάρακτον⟧. χρηστῶς δὲ ἀντὶ τοῦ καλῶς, ὠφελίμως, συμφερόντως. ἐπέμεινε δὲ τῇ τροπῇ καὶ τῷ ἀστεϊσμῷ, ὡς πρὸς μάγειρον. χρηστὸν γὰρ ἔδεσμα λέγομεν τὸ εὖ ἠρτυμένον. VΕΓ3ΘΜ

book 345b ὡς πρὸς μάγειρον εἴρηκε τὸ ὠμοσπάρακτον, ἐπεὶ τὰ ζῷα ὠμὰ ὄντα ἔτι διασπαράσσουσι καὶ κατατέμνουσι. καὶ τὸ χρηστὸν ἐπὶ τούτου. χρηστὸν γὰρ ἔδεσμα καλοῦμεν τὸ εὖ ἠρτυμένον. καὶ Ὅμηρος “οὐ χρηστὸν μελίτωμα, τὸ καὶ μάκαρες ποθέουσιν”. Lh

book 345c ὠμοσπάρακτον] δυνάμενον σπαράξαι τὸν λέγοντα. ἀστείως δὲ καὶ τοῦτο ὡς πρὸς μάγειρον. Lh

book 346a ἀλλ’ οἶδ’ ὅπερ πέπονθας: ἀλλὰ γιγνώσκω ὃ πέπονθας, ἢ οἶδα τὸ ἐπᾶράν σε. ἀλλά μοι δοκῶ συνειδέναι τὴν αἰτίαν δι’ ἣν εἰς τοσοῦτον θράσος προελήλυθας. VΕΓ2Μ

book 346b ἀλλ’ οἶσθ’] ἀλλά μοι δοκῶ συνιέναι τὴν αἰτίαν δι’ ἣν εἰς τοσοῦτον θράσος προελήλυθας. Lh

book 347 εὖ κατὰ ξένου: οἱ γὰρ κατὰ ξένου λέγοντες εὐκόλως λέγουσιν, ὡς κατὰ ξένων καὶ οὐ πολιτῶν δημηγοροῦντες. μετοίκους δὲ ἐκάλουν τοὺς ἀφ’ ἑτέρας πόλεως μεταβαίνοντας εἰς ἑτέραν καὶ οἰκοῦντας. VΕΓΘMLh

book 348a τὴν νύκτα θρυλῶν: οἱ γὰρ μὴ ἔμπειροι τοῦ συνηγορεῖν, ἐὰν διδαχθῶσιν ἀπὸ πράγματος, μὴ ἔχοντες ἀπὸ φύσεως τὸ λέγειν, ἀσκοῦνται καὶ ἰδίως διάγουσι καὶ ἐγρηγοροῦσι διὰ τῆς νυκτὸς ὕδωρ πίνοντες. VΕΓΘMLh

book 348b λαλῶν] σκεπτόμενος. ΕΓ3

book 349a (I) ὕδωρ τε πίνων: τουτέστι ταλαιπωρῶν καὶ μετὰ πολλοῦ καμάτου καὶ πόνου συντάσσων τὸν λόγον. δεικνύναι δὲ διὰ τούτων πάντων βούλεται τὴν ἀσθένειαν αὐτοῦ τῶν λόγων καὶ τὴν ἀπορίαν. VΕΓΘMLh (II) ἄλλως: ἀγρυπνῶν καὶ φροντίζων καὶ τῶν νυκτῶν μελετῶν καὶ σκεπτόμενος τὴν δίκην, τουτέστι ταλαιπωρῶν καὶ μετὰ πολλοῦ καμάτου συντάσσων τὴν δίκην. VΕΓΘ

book 349b ἀγρυπνῶν καὶ φροντίζων καὶ σκεπτόμενος τὴν δίκην· οἱ γὰρ φροντίζοντες καὶ ἐν ὁδοῖς καθ’ ἑαυτοὺς μελετῶντες ψιθυρίζουσιν. Lh

book 349c κἀπιδεικνύς: τουτέστι καταδήλους τοὺς λανθάνοντας ξένους ποιῶν. VΕΓ3Μ

book 349d τοὺς φίλους τ’ ἀνιῶν: λυπῶν φίλους. πρὸς γὰρ φίλους καὶ γνωρίμους τοὺς δημότας συνέβαινε τὰς τοιαύτας γίνεσθαι δίκας. καὶ τούτῳ δὲ χρῆται δείγματι τῆς ἀσθενείας τῶν λόγων αὐτοῦ, ὅτι τοὺς μὲν φίλους ἱκανός ἐστι βλάπτειν καὶ κακοῦν, πρὸς δὲ τοὺς ἀλλοτρίους καὶ ξένους ἐξασθενεῖ. VΕΓΘΜ

book 349e ἀνιῶν] λυπῶν. Μ

book 350a ὦ μῶρε τῆς ἀνοίας: τῆς μωρίας, τῆς ἠλιθιότητος. καὶ ἐξηπάτησαι, φησί, διότι κατὰ μετοίκου ποτὲ ξενίας ἐπηνέγκου γραφήν, καὶ ἐλπίζεις διὰ τοῦτο δύνασθαι καὶ δημηγορεῖν. VΕΓΘ

book 350b τὸ δὲ “ὦ μῶρε” προπερισπαστέον. χρῆσις γὰρ αὕτη Ἀττικῶν. τὸ δὲ “τῆς ἀνοίας” ἀντὶ τῆς ἐμβροντησίας καὶ ἠλιθιότητος. Μ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 350c ᾠου] ἐλογίζου. Lh

book 350d τῆς ἀνοίας] τῆς μωρίας. Lh

book 352a κατεγλωττισμένην: πεπληρωμένην τῶν σῶν λόγων, ἀπατωμένην, ταραττομένην, καταλελαλημένην τῷ σοὶ μόνῳ προσέχειν τὸν νοῦν. σύνηθες δὲ τοῦτο λέγουσι, μὴ ἔχειν λόγον, καὶ παρὰ ἀρχαίοις καὶ νεωτέροις. VΕΓΘΜ

book 352b κατεγλωττισμένην] πλήρη γενομένην τῶν σῶν λόγων. Lh

book 353 ἀντέθηκας] ἔστησας ἐξ ἐναντίας καὶ ἀντετάξω. ΕΓ2MLh

book 354 θύννεια θερμὰ] θύννων ἰχθύων τεμάχη. Lh

book 355a (I) κασαλβάσω: κασαλβάδες ἑταῖραί εἰσιν, αἱ ἀεὶ ἐπὶ τῶν οἰκημάτων ἑστῶσαι γυναῖκες, ἐπὶ μισθῷ παρέχουσαι τοῖς βουλομένοις ἑαυτάς. κασαλβάδες δὲ εἴρηνται ἀφ' οὗ ποιοῦσι. καλοῦσι μὲν γὰρ οὐκ ἔχουσαι τοὺς ἐραστάς, σοβοῦσι δὲ τοὺς ὄντας, ἵνα ἄλλους λάβωσιν. ἐπεὶ οὖν ἰταμῶς καὶ ἀναιδῶς ὁ Κλέων ἀλλοτρίᾳ ἐπεπήδησε νίκῃ καὶ τῆς ἐπὶ τοῖς κατορθώμασι δόξης αὐτοὺς ἀφείλετο, καὶ αἱ ἑταῖραι δὲ ἀναίσχυντοι καὶ ἀναιδεῖς, ἐπεὶ ἐπιπηδῶσι τοῖς ἐρασταῖς, εἰκότως ὁ ποιητὴς τῇ λέξει ταύτῃ κέχρηται. VΕΓ3ΘΜ (II) ἄλλως: λοιδορήσω. ἔστι δὲ 〈κασαλβὰσ〉 ὄνομα ἑταίρας. νῦν δὲ εἴρηκεν ἀντὶ τοῦ δι' ἀγορᾶς λοιδορηθείην. πρὸς δὲ τὸ ῥηθὲν ὑπὸ τοῦ ἑτέρου "κασαλβάσω τοὺς στρατηγοὺς" ἀντέθηκε "καὶ Νικίαν ταράξω". Νικίας δὲ στρατηγὸς Ἀθηναίων. VΕΓΘ

book 355b κασαλβάδες καλοῦνται αἱ ἐπὶ μισθῷ παρέχουσαι τοῖς βουλομένοις ἑαυτὰς ἑταῖραι γυναῖκες, ἐκ τῆς ἐνεργείας αὐτῶν σχοῦσαι τοὔνομα. καλοῦσι μὲν γὰρ οὓς βούλονται ἐραστάς, οὓς δὲ ἔχουσιν ἀποσοβοῦσιν. ἐπεὶ οὖν καὶ Κλέων ἀναιδῶς ἐπεπήδησε τοῖς ἑτέροις κατορθώμασιν ὡς αἱ τοιαῦται γυναῖκες ἐπιπηδῶσι τοῖς ἐρασταῖς, εἰκότως ὁ ποιητὴς τῇ λέξει ταύτῃ κέχρηται. Lh

book 355c κασαλβάσω] λοιδορήσω. Lh

book 356a ἐγὼ δέ γ' ἤνυστρον βοός: τὰ μηρυκίζοντα τῶν ζῴων τρεῖς κοιλίας ἔχει, κεκρύφαλον, ἤνυστρον, ἐχῖνον. μηρυκίζει δὲ ὅταν μὴ τροφῆς παρακειμένης κινῆται τὸ στόμα ⟦ὥσπερ αἲξ καὶ πρόβατον καὶ κάμηλοσ⟧. εἰκότως δὲ ὡς μάγειρος τούτοις ἠμείψατο τὸν Κλέωνα. VΕΓ2ΘΜ

book 356b τὰ μηρυκίζοντα τῶν ζῴων, οἷον βοῦς καὶ κάμηλος καὶ πρόβατον καὶ αἲξ καὶ τὰ τοιαῦτα, τρεῖς ἔχει κοιλίας· κεκρύφαλον, ἤνυστρον καὶ ἐχῖνον. μηρυκίζει δὲ ὅταν μὴ τροφῆς παρακειμένης ἀναπεμπάζῃ τὴν ἐν τῇ κοιλίᾳ τροφὴν καὶ κινεῖ τὸ στόμα ταύτην κατεργαζόμενα. Lh

book 356c ἤνυστρον] ἡ πρώτη κοιλία τῶν μηρυκιζόντων. Lh

book 357a καταβροχθίσας: ἐκροφήσας, καταπιών. ἐπὶ δὲ τῶν ἀθρόως ἐκροφούντων καὶ ἀπλήστως λέγεται. VΕΓ3MLh

book 357b ἀναπόνιπτος: μὴ νιψάμενος μηδὲ πλύνας τὰς χεῖρας, ἀλλ' ἀκάθαρτος, ἵνα τὸ ῥυπαρὸν αὐτοῦ μᾶλλον ἐνδείξῃ τῶν τρόπων. παρατηρητέον δὲ ὅτι τοῖς ἴσοις ἀμείβεσθαι φιλονεικεῖ τὸν Κλέωνα, τῷ μὲν θύννῳ "ἤνυστρον καὶ κοιλίαν" ἀντιτιθείς, τῷ δὲ θερμῷ τὸ "ἀναπόνιπτος", τῷ δὲ οἴνῳ "τὸν ζωμόν". VΕΓΘΜ

book 358a λαρυγγιῶ τοὺς ῥήτορας: καταβοήσομαι, φησί, τῶν ἄλλων ῥητόρων ἢ τὴν φάρυγγα ἐκτεμῶ, τουτέστι κατασιγάσω τοὺς ῥήτορας. τμηθείσης γὰρ τῆς φάρυγγος οὐχ οἷόν τε τὴν φωνὴν προΐεσθαι. παρατηρητέον 〈δὲ〉 ὅτι ὥσπερ ὁ Κλέων ἐπήνεγκε "κασαλβάσω τοὺς ἐν Πύλῳ στρατηγούς", οὕτω καὶ οὗτος ἐχρήσατο τῷ "λαρυγγιῶ τοὺς ῥήτορας". VΕΓΘΜ

book 358b καὶ Νικίαν ταράξω: φοβήσω. δυσώνυμος δὲ ὁ Νικίας. ἐμφαίνει δὲ ὅτι καὶ αὐτὸς τῶν εὐδοκιμούντων ἦν στρατηγός. .... καὶ ὁ υἱὸς Στράτιππος .... ἐμνημόνευσε τοῦ Νικίου Δημοσθένης. ἦν δὲ Νικηράτου παῖς. VΕΓ3ΘΜ

book 358c

λαρυγγιῶ τοὺς ῥήτορας] καταβοήσομαι τοὺς ἄλλους ῥήτορας. ΕΓ2

book 358d λαρυγγιῶ τοὺς ῥήτορας] καταβοήσομαι ἢ ἐκτεμῶ τὰς αὐτῶν φάρυγγας. Lh

book 358e ταράξω] φοβήσω. Lh

book 359 οὐ προσίεταί με] οὐ πείθει με. ΕΓ3Lh

book 361a (I) ἀλλ' οὐ λάβρακας: λάβραξ εἶδος ἰχθύος 〈λάβρου〉, ἀφ' οὗ ποιεῖται τὴν προσηγορίαν. κέχηνέ τε γὰρ αὐτοῦ τὸ στόμα καὶ ἀθρόως καὶ λάβρως τὸ δέλεαρ καταπίνει. ὅθεν καὶ εὐχερῶς ἁλίσκεται. ἐπεὶ οὖν ὁ Κλέων ἔφησε θύννους θερμοὺς καταπιεῖν, ὁ δὲ ἀλλαντοπώλης ἀπὸ τῆς αὐτοῦ τέχνης ὁρμώμενος, τὸ ἤνυστρον καὶ τὴν κοιλίαν καὶ τὸν ζωμὸν ἀντέθηκεν, ὁ χορὸς μέμφεται ὡς οὐ δεόντως ἀμειψαμένου τοῦ ἀλλαντοπώλου τὸν Κλέωνα, λέγων ὡς ἐχρῆν αὐτὸν ἀντιτεθεικέναι τῷ θύννῳ λάβρακα. ἰδιωτέρα γὰρ αὕτη πρὸς τὸν θύννον τοῦ ἠνύστρου καὶ ὧν αὐτὸς εἶπεν ἀπάντησις ἂν ἦν. VΕΓ3ΘΜ (II) ἄλλως: βέλτιόν φησιν εἶναι λάβρακας καταφαγόντα τοὺς Μιλησίους κλονεῖν, ἀλλὰ μὴ Νικίαν ταράσσειν, ὅπερ ἠπείλησεν ὁ ἀλλαντοπώλης. ἐν Μιλήτῳ δὲ τῆς Ἀσίας μέγιστοι 〈οἱ〉 λάβρακες καὶ πλεῖστοι διὰ τὴν ἐπεισρέουσαν λίμνην εἰς θάλασσαν. χαίροντες γὰρ οἱ ἰχθύες τῷ γλυκεῖ ὕδατι εἰς τὴν λίμνην ἐκ τῆς θαλάσσης ἀνατρέχουσι, καὶ οὕτω πληθύνουσι παρὰ τοῖς Μιλησίοις. Μιλησίους δὲ εἶπεν, ὡς τοῦ Κλέωνος τοὺς Μιλησίους ταράσσοντος καὶ ἐπηρεά-

book 361a ζοντος. VΕΓΘΜ

book 361b βέλτιόν φησι λάβρακας καταφαγόντα Μιλησίους κλονεῖν, ἀλλὰ μὴ Νικίαν σπαράσσειν, ὅπερ ἠπείλησεν ὁ ἀλλαντοπώλης. ἐν Μιλήτῳ δὲ τῆς Ἀσίας μέγιστοι λάβρακες καὶ πλεῖστοι διὰ τὴν ἐπιρρέουσαν εἰς θάλασσαν λίμνην, ἐν ᾗ ἐκ τῆς θαλάσσης ἀνατρέχουσι, χαίροντες τῷ γλυκεῖ ὕδατι. Μιλησίους δὲ εἶπεν ὡς τοῦ Κλέωνος τούτους ταράσσοντος καὶ ἐπηρεάζοντος. τοῦτο δὲ εἴρηκε διὰ τὸ καὶ τὸν Κλέωνα εἰπεῖν θύννους θερμοὺς καταπιεῖν. Lh

book 361c κλονήσεις] ταράξεις. Lh

book 362a σχελίδας: βοὸς πλευρά· ἢ ἁπλῶς τὰ πλευρικὰ τῶν κρεῶν, ὡς Αἰσχύλος. VΕΓ2ΜLh

book 362b ὠνήσομαι μέταλλα: ὠνήσομαι μέταλλα ἀργυρίου καὶ χρυσίου, ὥστε προσόδους ἔχειν τὴν πόλιν. ἦν δὲ μέταλλα Ἀθήνησιν ἐν Λαυρίῳ. VΕΓΘΜ

book 362c ὠνήσομαι] ἀγοράσω. Γ3

book 362d μέταλλα] ἀργυρίου καὶ χρυσοῦ. Lh

book 362e τὰ μέταλλα Ἀθήνησιν ἐν Λαυρίῳ ἦν. Lh

book 363a βίᾳ κυκήσω: συνταράξω ἐπεισπεσών· τὸ βίαιον δὲ αὐτοῦ διὰ τῆς λέξεως ἐδήλωσεν. VΕΓΘ

book 363b κυκήσω] συνταράξω. Lh

book 364a φύσκης: φύσκη ἔντερόν ἐστι παχύ, εἰς ὃ ἐμβάλλεται ἄλευρα καὶ κρέα ⟦καὶ μάσσουσιν⟧, ἐξ οὗ γίνεται ὁ ἀλλᾶς. ὡς ἀλλαντοπώλης δὲ τῆς φύσκης ἐμνημόνευσεν. VΕΓΘΜ

book 364b φύσκη ἔντερόν ἐστι παχύ, εἰς ὃ φυροῦντες ἄλευρα καὶ κρέα ἐμβάλλουσιν, ἐξ οὗ γίνεται ὁ ἀλλᾶς. ὡς μάγειρος δὲ τῆς φύσκης ἐμνημόνευσεν. Lh

book 364c φύσκη] ἔντερον παχὺ ἡ φύσκη. Lh

book 365a ἐξελῶ σε] ἐξοίσω σε. ΕΓ3

book 365b κύβδα: κύφοντα. διὰ τοῦ σχήματος τὴν αἰσχύνην δείκνυσιν αὐτοῦ. ΕΓ3ΜLh

book 366 (I) νὴ τὸν Ποσειδῶ: καὶ ἐμὲ τὸν θεράποντα ἕλκε, ἐὰν τὸν ἀλλαντοπώλην ἕλκῃς. VΕΓ3ΜLh (II) ἄλλως: ὁ χορός ἐστιν ὁ λέγων. χρησίμως δὲ κέχρηται τῇ συνδρομῇ· μὴ τοῦτον μόνον, ἀλλὰ καὶ ἡμᾶς τὸν αὐτὸν ἐξάγοις τρόπον. VΕΓ3Μ

book 367a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἷόν σε δήσω τῷ ξύλῳ: μόνον, ἵνα ᾖ λέγων, τῶν μὲν ἄλλων σου συνωμοτῶν καίπερ ἀδικούμενος ὑπ’ αὐτῶν φείσομαι, σὲ δὲ μόνον δήσω τῷ ξύλῳ. εἶδος δὲ δεσμοῦ τὸ ξύλον, ἣν ποδοκάκκην λέγουσι καὶ ποδοστράβην. VEΓ2ΘM

book 367b οἷόν] μόνον τῶν ἄλλων συνωμοτῶν. Lh

book 367c ξύλῳ] ὃ ποδοστράβην λέγουσι καὶ ποδοκάκκην. Lh

book 368 διώξομαί σε δειλίας] κατηγορήσω σου δειλίας, ἀγῶνα ἐνστήσομαι κατά σου. VEΓ3MLh

book 369a (I) θρανεύσεται: ἐκταθήσεται. θράνος γὰρ τὸ ὑποπόδιον, ὅπου τὰ δέρματα ἐκτείνεται. πάλιν δὲ ὡς βυρσοπώλης τοῦτο λέγει. VEΓ2ΘM (II) ἄλλως: ξαίνειν ἔλεγον τὸ τύπτειν, καὶ ξαίνεσθαι τὸ πάσχειν. φησὶν οὖν, ἡ βύρσα σου τυπτομένη διαφθαρήσεται. ἰδίως δὲ ὡς βυρσεὺς τῇ ἀπειλῇ ταύτῃ κέχρηται. καὶ γὰρ τὰς βύρσας ξύλοις τύπτειν εἰώθασιν, ἵνα ἁπαλαὶ ὦσιν. ἔνιοι δὲ ἵνα διαλάβοιεν εὐχερῶς τοῦ φαρμάκου. VEΓ3Θ

book 369b θρανεύσεται] ἐκταθήσεται. M

book 369c θρανεύσεται] ἐν ὑποποδίῳ ἐκτείνεται. Lh

book 370a δερῶ σε θύλακον κλοπῆς: ἐκδερῶ σε. τὸ γὰρ ἐκδέρειν μᾶλλον τῶν μαγείρων τέχνη. ἐκδερῶ σε, φησίν, ὥστε ἀπὸ τοῦ σώματός σου θύλακον ποιῆσαι εἰς ὑποδοχὴν κλέμματος. VEΓΘM

book 370b δερῶ σε] ἐκδερῶ σε ὥστε τὸ δέρμα σου ποιῆσαι θύλακον εἰς ὑποδοχὴν κλεμμάτων. Lh

book 371a (I) διαπατταλευθήσῃ χαμαί: ἐκταθήσῃ χαμαί. τὰς γὰρ βύρσας ἐκτείνοντες ἐπὶ τῆς γῆς, ἵνα μὴ συνάγοιντο καὶ συστέλλοιντο ἐκ τῆς τοῦ ἡλίου καύσεως, κατὰ τὰ ἄκρα παττάλοις κατακρούοντες ἐκτείνουσιν. VEΓ3ΘM (II) ἄλλως: χαμαὶ ἐπὶ τῶν παττάλων ἐξέδερον τὰ δέρματα. VEΓ3

book 371b διαπατταλευθήσῃ χαμαί] ἐκταθήσῃ χαμαὶ κεκαρφωμένος ὡς αἱ βύρσαι. Lh

book 372a περικόμματ’ ἔκ σου σκευάσω: περικόμματα τὰ ἐκ τῶν μαγείρων περιαιρέματα τῶν κρεῶν. ὃ δὲ βούλεται λέγειν, τοιοῦτόν ἐστι· ⟦τουτέστι⟧ κατὰ μέρος σου κόψω τὸ σῶμα. ὡς μάγειρος δὲ λέγει. VEΓΘM

book 372b περικόμματ’] τὰ παρὰ τῶν μαγείρων περιαιρούμενα τῶν κρεῶν λέγεται περικόμματα. Lh

book 373a τὰς βλεφαρίδας σου παρατιλῶ: παρεπιγραφὴ τὸ σχῆμα. ἐπὶ γὰρ τὰς ὄψεις τοῦ ἀλλαντοπώλου ἐπιβαλὼν τὰς χεῖρας, τῶν βλεφάρων ἐκτίλλει. τῶν γὰρ βυρσέων ἐστὶν ἔργον τῶν δερμάτων ἀπομαδίζειν τὰς τρίχας. ἢ ὅτι πρὸς τὸ ῥάπτειν τριχῶν δέονται. VEΓ2ΘM

book 373b παρατιλῶ] τῶν γὰρ βυρσέων ἐστὶν ἔργον τῶν δερμάτων ἀποτίλλειν τὰς τρίχας. Lh

book 374a τὸν πρηγορεῶνα: τὸν λεγόμενον γαργαρεῶνα. παρατηρητέον δὲ ἐν πᾶσι τοῖς ἀντιθετικοῖς, ὅτι ἀπὸ τῆς αὑτοῦ τέχνης ἑκάτερος αὐτῶν τοῖς ὀνόμασι χρῆται καὶ ταῖς λέξεσιν. ὥσπερ γὰρ τῶν βυρσέων τὸ καθαίρειν καὶ μαδίζειν τῶν δερμάτων τὰς τρίχας, οὕτω καὶ τῶν μαγείρων τὸ τέμνειν καὶ σφάζειν εἰς τὸν λαιμὸν τὰ θρέμματα. κυρίως δὲ ἡ τῶν ὀρνέων φάρυγξ, ἐν ᾗ ἀγείρεται ἡ τροφή. VEΓ2ΘM

book 374b πρηγορεῶνα] κυρίως ὁ τῶν ὀρνέων φάρυγξ. Lh

book 376a (I) μαγειρικῶς: εἰώθασι γὰρ οἱ μάγειροι πασσάλοις τὰ τῶν χοίρων ἀνοίγοντες στόματα κατανοεῖν εἰ χαλαζῶσι· χάλαζα δὲ πάθος τῶν χοίρων. VEΓΓ2ΘM (II) ἄλλως: οἱ μάγειροι μετὰ τὸ ἀποσφάξαι τὰ θρέμματα εἰώθασι κρεμᾶν αὐτὰ ἐκ πασσάλων καὶ οὕτως ἐκδέρειν. συνάγειν δὲ εἴωθε τὰ θρέμματα τὸ στόμα. κατὰ ταῦτα οὖν φησὶν ὅτι χρὴ πάσσαλον ἐμβαλεῖν εἰς τὸ στόμα καὶ διανοῖξαι πρὸς τὸ ἐξεῖραι τὴν γλῶσσαν. VEΓΓ2ΘM

book 376b

εἰώθασιν οἱ μάγειροι παττάλοις τὰ τῶν χοίρων ἀνοίγειν στόματα καὶ κατανοεῖν εἰ χαλαζῶσι· χάλαζα δὲ πάθος τῶν χοίρων. ἀλλὰ καὶ ἀποσφάξαντες ζῷον παττάλοις εἰώθασιν ἀναρτᾶν καὶ ἐκδέρειν. παίζων οὖν "τοιαῦτα," φησί, "ποιήσωμεν τῷ Κλέωνι". Lh

book 378a "ἐξείραντες" δὲ αὐτὴν ἀντὶ τοῦ ἑλκύσαντες, ἀνασπάσαντες. VΕΓΓ2Γ3Θ

book 378b ἐξείραντες] ἐκβαλόντες. Lh

book 379a σκεψόμεσθα: ἐπιγνωσόμεθα, πολυπραγμονήσομεν. ἀνδρικῶς δὲ ἀντὶ τοῦ ἀνεπικωλύτως, ἅτε τῆς γλώσσης προεξῃρημένης καὶ μὴ ἐμποδιζούσης τὴν θέαν. VΕΓΘ

book 379b σκεψόμεσθα] ἐπιγνωσόμεθα. Lh

book 379c ἀνδρικῶς] ἰσχυρῶς. Lh

book 380a τοῦτό ἐστι τὸ παρατέλευτον μονόμετρον. ΕΓ2Μ

book 380b τοῦτο τὸ κῶλον παρατέλευτον ὀνομάζεται. Lh

book 381a εἰ χαλαζᾷ: ἤτοι εἰ χαλαρός ἐστι, ἢ εἰ χάλαζαν ἔχει. νόσημα δὲ τοῦτο τῶν θρεμμάτων, ὅπερ ζώντων μὲν λανθάνει, ἀποθανόντων δὲ καὶ τεμνομένων φανερὸν γίνεται. ταῖς σαρξὶ δὲ αὐτῶν ἀναμέμικται καὶ ἐμπέφυκεν ἡ χάλαζα. VΕΓΘΜ

book 381b νόσημά ἐστι τοῖς θρέμμασιν ὀνομαζόμενον χάλαζα, ὅπερ ζώντων μὲν λανθάνει, ἀποθανόντων δὲ καὶ τεμνομένων φανερὸν γίνεται ταῖς σαρξὶν αὐτῶν διασπαρέν. Lh

book 381c >Lh

book 382a (ad vv. 382—8) ἦν ἄρα πυρός: διπλῆ καὶ ἐν εἰσθέσει περίοδος τοῦ χοροῦ παιωνικὴ ἑπτάκωλος, ἔχουσα τρίρρυθμα πρῶτον, δεύτερον, τρίτον, τὰ δὲ λοιπὰ δίρρυθμα. VΕΓΘ

book 382b (ad vv. 382—408) ἦν ἄρα πυρός γ' ἕτερα: κορωνὶς καὶ εἴσθεσις χοροῦ προῳδικὴ ἐκ κώλων παιωνικῶν ἐπιμεμιγμένων κρητικοῖς ζʹ· ὧν τὸ πρῶτον τρίμετρον ἀκατάληκτον καθαρόν, τὸ δεύτερον δίμετρον ἀκατάληκτον ἐκ κρητικῶν ἤτοι ἀμφιμάκρων, τὸ τρίτον ὅμοιον τῷ πρώτῳ ἐκ κρητικῶν, τὸ τέταρτον ὅμοιον, τὸ πέμπτον ὅμοιον τῷ δευτέρῳ, τὸ ἕκτον ὅμοιον, τὸ ἕβδομον δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές. ἐν ἐκθέσει δὲ στίχοι δύο τροχαϊκοὶ τετράμετροι καταληκτικοί. ἐπὶ 〈τῷ〉 τέλει κορωνίς. ἑξῆς σύστημα στίχων ςʹ. τὰ ἑξῆς γʹ κῶλα τοῦ χοροῦ τροχαϊκά, ὧν τὰ μὲν βʹ δίμετρα ἀκατάληκτα, τὸ δὲ τρίτον καταληκτικὸν ἤτοι ἑφθημιμερές, ὃ καλεῖται Εὐριπίδειον, ὡς

book 382b εἴρηται, ἢ ληκύθιον. οἱ ἑξῆς τούτων δύο στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοί. τὰ ἑξῆς τοῦ χοροῦ κῶλα στίχοι εʹ, ὧν τὰ πρῶτα δύο δακτυλικὰ τετράμετρα· κατὰ γὰρ μονοποδίαν μετρεῖται, ὡς εἴρηται· ὁ τρίτος τροχαϊκὸς τετράμετρος καταληκτικός· τὸ τέταρτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον· τὸ πέμπτον τροχαϊκὸν ὅμοιον. ἑξῆς δὲ τούτων ἐν ἐκθέσει στίχοι βʹ ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ ὅμοιοι τοῖς ἑξῆς. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς. Lh

book 382c θερμότερα: ἀπὸ ἐνδόξου σύγκρισιν ὑπειλήφαμεν σφόδρα. τί γὰρ γένοιτο πυρὸς ἐκπυρώτερον καὶ σφοδρότερον, ὅπου γε καὶ τὴν Κλέωνος ἀναίδειάν τις ἂν ὑπερηκόντισεν, ἵν' ὁ νικῶν μὴ διὰ τὴν τοῦ ἡττηθέντος ἐπιείκειαν, ἀλλὰ δι' ὑπερβάλλουσαν ἑαυτοῦ πονηρίαν τὴν νίκην ἀποφέρεσθαι δοκῇ. ὅσον δὲ τὴν νίκην θαυμάζει τοῦ νενικηκότος, τοσοῦτον τοῦ ἡττηθέντος θαυμάζει τὴν ἀναίδειαν. οὐ γὰρ τὸν ἀλλαντοπώλην τοσοῦτον ὅσον τὸν Κλέωνα πονηρὸν ὄντα βούλεται δεῖξαι. VΕΓΘΜ

book 382d ἀπὸ ἐνδόξου καὶ ἰσχυροτέρου τὴν σύγκρισιν ποιεῖται. τί γὰρ γένοιτο πυρὸς σφοδρότερον καὶ διακαέστερον; ἀλλ' ὁ Κλέων, φησί, καὶ τούτου θερμότερος εἰς τὸ κακουργῆσαι. ἢν οὖν τοῦτον νικήσῃς θαυμαστὸς φανεῖ. ἐπίβηθι τοίνυν καὶ στρόβει αὐτόν. ὅσον δὲ τὴν νίκην θαυμάζει τοῦ

νενικηκότος, τοσοῦτον καὶ τοῦ ἡττηθέντος τὴν ἀναίδειαν. οὐ γὰρ τὸν ἀλλαντοπώλην τοσοῦτον, ὅσον τὸν Κλέωνα πονηρὸν ὄντα βούλεται δεῖξαι. Lh

book 382e ἦν] ἀντὶ τοῦ ἐγίνετο. Γ2

book 385a οὐκ ἄρ’ ἦν φλαῦρον: οἷον οὐ φαῦλον, οὐκ ἄχρηστον, οὐδὲ πονηρόν ἐστι τὸ πρᾶγμα, οὐδὲ ἀνόητον. εὐφραίνεται γὰρ ἐπεὶ παρευδοκιμούμενον ὁρᾷ τὸν Κλέωνα ὁ χορός. VΕΓΘΜ

book 385b οὐ φαῦλον] οὐκ ἄχρηστον, οὐ πονηρόν. Μ

book 385c οὐ φαῦλον] οὐκ ἄχρηστον οὐδὲ πονηρὸν οὐδὲ ἀνόητον. Lh

book 386a ἀλλ’ ἔπιθι: ἐπίμενε καὶ ἐπίκεισο καὶ μὴ ἀνῇς. ταῦτα δὲ τῷ ἀλλαντοπώλῃ φησὶν ὁ χορός, ἡδόμενος ὅτι πρόσκειται τῷ Κλέωνι ἡττημένῳ. VΕΓΘΜ

book 386b καὶ στρόβει: στροβεὺς ἐργαλεῖον κναφικόν. φησὶν οὖν, περίαγε αὐτὸν καὶ στρέφε. ⟦τοῦτο γὰρ καὶ τοῦ ἐργαλείου τὸ ἔργον.⟧ VΕΓΘΜ

book 386c ἔπιθι] ἐπίμεινον, ἐπίκεισο. Lh

book 386d στρόβει] τάραττε, στρέφε. Lh

book 387a μηδὲν ὀλίγον ποίει: γράφεται μηδὲν ἔλαττον ποίει. φησὶν οὖν πάντα μεγάλα κατ’ αὐτοῦ ποίει καὶ μηδὲν εὐτελές. VΕΓΘ

book 387b ὀλίγον] εὐτελές· ἀλλὰ πάντα μεγάλα. Lh

book 388a νῦν γὰρ ἔχεται μέσος: νῦν γὰρ τὸ κατ’ αὐτοῦ μῖσος αὔξεται. καταπεπάλαισταί φησιν· ἡ μεταφορὰ ἀπὸ τῶν παλαιστῶν τῶν μεσολαβούντων καὶ ἐκ τούτου κρειττόνων γενομένων. VΕΓ2ΘΜ

book 388b ἔχεται] κεκράτηται, ἐκ μεταφορᾶς τῶν παλαιόντων. Lh

book 389 ὡς ἂν νυνὶ μαλάξῃς: ἐὰν ἐν τῇ ἀρχῇ καταγωνίσῃ καὶ ἀσθενῆ ποιήσῃς. VΕΓΘLh

book 390 . Lh

book 391 σύστημα κατὰ περικοπήν. Lh

book 392a ἀλλότριον ἀμῶν θέρος: τουτέστι τοὺς ἀλλοτρίους καμάτους καὶ πόνους οὗτος γεωργῶν καὶ καρπούμενος. αἰνίττεται δὲ πρὸς τὴν Πύλον, ὅτι μετὰ τοὺς κινδύνους καὶ τὰς πολλὰς ταλαιπωρίας, ἃς ὑπέμεινε Δημοσθένης πολιορκῶν τοὺς ἐν Σφακτηρίᾳ, μηδὲν ὁ Κλέων πονήσας, ἀλλ’ ὕστερον ἐφ’ ἕτοιμα ἐλθών, τὴν νίκην τὴν ἐκείνου παρελόμενος αὐτὸς ἐπεγράφη τῷ κατορθώματι. ὡς εἴ τις ἀγνώμων ἀνὴρ ἐπ’ αὐτῷ ἀμητῷ ἐκ τῆς ἅλω ἐκβαλὼν τὸν σπείραντα γεωργὸν καὶ προπεπονηκότα τοὺς καρποὺς ἀξιοῖ πορίζεσθαι. VΕΓ2ΘΜ

book 392b τὰ περὶ τὴν Πύλον αἰνίττεται διὰ τοῦ εἰπεῖν “τἀλλότριον ἀμῶν θέρος”, ὅτι μετὰ κινδύνους καὶ τὰς πολλὰς ταλαιπωρίας, ἃς ὑπέμεινε Δημοσθένης πολιορκῶν τοὺς ἐν Σφακτηρίᾳ, μηδὲν ὁ Κλέων πονήσας, τὴν νίκην ἐκείνου ἑαυτοῦ ἐπεγράψατο. ὡς εἴ τις ἀγνώμων ἀνὴρ ἐπ’ αὐτῷ τῷ ἀμήτῳ καὶ ταῖς ἅλωσιν ἐκβαλὼν τὸν σπείραντα γεωργὸν καὶ προπεπονηκότα τοὺς καρποὺς ἀξιοῖ προσπορίζειν ἑαυτῷ. Lh

book 392c τἀλλότριον ἀμῶν θέρος] τοὺς ἀλλοτρίους καμάτους καὶ πόνους καρπούμενος. Lh

book 392d κατ’ ἀνὴρ] ἡ κατὰ παρέλκει. ΕΓ3

book 392e κατ’] περισσόν. Γ2

book 393a νῦν δὲ τοὺς στάχυς: ἑξῆς ἀπὸ τοῦ ἀμητοῦ ὠνόμασε τοὺς στάχυς, ἀντὶ τῶν αἰχμαλώτων, οὓς ζῶντας ἄξειν ⟦Λακεδαιμονίων⟧ κατεπαγγειλάμενος ὁ Κλέων τοῖς Ἀθηναίοις ἐμπροθέσμως ἤγαγεν. φησὶν οὖν, τοὺς ἄνδρας ἐκείνους, οὓς δήσας ἤγαγεν, ἀφεῖναι νῦν καὶ ἀπολῦσαι διανοεῖται. VΕΓΘ

book 393b

νῦν δὲ τοὺς στάχυς: φησὶ δὲ τοὺς ἄνδρας ἐκείνους, οὓς δήσας ἀπήγαγε τοῖς Ἀθηναίοις, ἀφεῖναι νῦν καὶ ἀπολυθῆναι διανοεῖται. M

book 393c στάχυς] ἐπὶ τῶν αἰχμαλώτων στάχυς εἶπεν. EΓ3

book 393d στάχυς] ἤγουν τοὺς αἰχμαλώτους. ἐπέμεινε δὲ τῇ τροπῇ. Lh

book 394a ἀφαύει] ξηραίνει, τιμωρεῖ. Lh

book 394b ἀποδόσθαι] πωλῆσαι, τουτέστι λύτρα παρ’ αὐτῶν λαβεῖν. VEΓ3

book 394c ἀποδόσθαι] λύτρα λαβεῖν ἐξ αὐτῶν καὶ ἀπολῦσαι. Lh

book 396a μακκοᾷ: ἀνοηταίνει, ἐνεόν ἐστιν. ἔφαμεν δὲ ὅτι ἡ Μακκὼ ἐνεὰ ἦν. VEΓ3

book 396b μακκοᾷ] ἀνοηταίνει· Μακκὼ γὰρ ἐνεὰ ἦν, ὡς εἴρηται. Lh

book 396c —Lh

book 397a ὡς] ὄντως. Lh

book 397b ἀναιδεύεται] ἀναισχυντεῖ. Lh

book 399 —Lh

book 400a (I) Κρατίνου κῴδιον: κῴδιόν ἐστι τὸ ἅμα τοῖς ἐρίοις δέρμα σκευαζόμενον. ὡς ἐνουρητὴν δὲ καὶ μέθυσον διαβάλλει τὸν Κρατῖνον. ὁ δὲ Κρατῖνος καὶ αὐτὸς ἀρχαίας κωμῳδίας ποιητής, πρεσβύτερος Ἀριστοφάνους, τῶν εὐδοκίμων ἄγαν. γενοίμην οὖν, φησίν, εἰς τὴν οἰκίαν Κρατίνου κῴδιον, ὥστε μου κατουρεῖν ἐκεῖνον, εἰ μή σε μισῶ. ὅπερ μοι δοκεῖ παροξυνθεὶς ἐκεῖνος, καίτοι τοῦ ἀγωνίζεσθαι ἀποστὰς καὶ συγγράφειν, πάλιν γράφει δρᾶμα, τὴν Πυτίνην, εἰς αὑτόν τε καὶ τὴν μέθην, οἰκονομίᾳ τε κεχρημένον τοιαύτῃ. τὴν Κωμῳδίαν ὁ Κρατῖνος ἐπλάσατο αὑτοῦ εἶναι γυναῖκα καὶ ἀφίστασθαι τοῦ συνοικεσίου τοῦ σὺν αὐτῷ θέλειν, καὶ κακώσεως αὐτῷ δίκην λαγχάνειν, φίλους δὲ παρατυχόντας τοῦ Κρατίνου δεῖσθαι μηδὲν προπετὲς ποιῆσαι καὶ τῆς ἔχθρας ἀνερωτᾶν τὴν αἰτίαν, τὴν δὲ μέμφεσθαι αὐτῷ ὅτι μὴ κωμῳδοίη μηκέτι, σχολάζοι δὲ τῇ μέθῃ. οὐδὲν δὲ χεῖρον πολυμαθίας ἕνεκεν αὐτὰ τὰ ἐπιτήδεια τῶν ἰάμβων ἐκλέξαντα θεῖναι ταῦτα· “ἀλλ’ ἐπανατρέψαι βούλομαι εἰς τὸν λόγον, πρότερον ἐκεῖνος πρὸς ἑτέραν γυναῖκ’ ἔχων τὸν νοῦν, κακὰς εἴποι πρὸς

book 400a ἑτέραν, ἀλλ’ ἅμα μὲν τὸ γῆρας, ἅμα δέ μοι δοκεῖ οὐδέποτ’ αὐτοῦ πρότερον”, καὶ τὰ ἑξῆς. VEΓ3ΘM (II) ἄλλως: Κρατῖνος κωμῳδίας ποιητὴς πολὺν οἶνον πίνων ὡς καὶ ἐνουρεῖν. γενοίμην οὖν, φησίν, ἓν τοῦ Κρατίνου κῴδιον, ἵνα κατασήπωμαι ἐνουροῦντος αὐτοῦ. VEΓΘ

book 400b Κρατῖνος ἀρχαίας κωμῳδίας ποιητής, πρεσβύτερος Ἀριστοφάνους, τῶν δοκίμων ἄγαν. διαβάλλει δὲ αὐτὸν ὡς μέθυσον καὶ ἐνουροῦντα, ὥστε καὶ κῴδιον ἔχειν ὑπὸ τὰ σκέλη, ἤγουν θύλακον σὺν τοῖς ἐρίοις αὐτοῦ. γενοίμην οὖν, φησίν, ἓν τοῦ Κρατίνου κῴδιον, ἵνα κατασήπωμαι ἐνουροῦντος αὐτοῦ, εἰ μή σε μισῶ. Lh

book 400c κῴδιον] δέρμα εἰς ὃ μεθύων ἐνουρεῖν λέγεται. Lh

book 401a Μορσίμου: Μόρσιμος Φιλοκλέους τοῦ ποιητοῦ υἱός, τραγῳδίας ποιητὴς ψυχρός. ἔστι δὲ καὶ ἰατρός. ὡς δὲ μοχθηρῶν ὄντων αὐτοῦ τῶν ποιημάτων ἐν ἀρᾶς ἔθηκε μέρει. VEΓΘMLh

book 401b Μορσίμου] ποιητὴς ψυχρός. Lh

book 402 ὦ περὶ πάντ’ ἐπὶ πᾶσι: ὦ ἐπὶ πᾶσι προδοσίᾳ ἐξεταζόμενε καὶ κακίᾳ· μεταφορικῶς δὲ εἴληφε τὸ νόημα ἀπὸ τῶν μελισσῶν· ὃ γὰρ λέγει, τοιοῦτόν ἐστιν· ὥσπερ αἱ μέλισσαι, φησί, πᾶν ἄνθος δρέπονται, οὕτω καὶ σὲ τῶν τῆς πόλεως πραγμάτων οὐδὲν λανθάνει, ὥστε μὴ οὐκ ἀποδόσθαι αὐτὸ καὶ προδοῦναι. VEΓ3ΘM

book 403a ἵζων] ἐφίζων, ἐφιπτάμενος ἐπὶ πάσῃ δωροδοκίᾳ. VEΓ3

book 403b

δωροδόκοισιν ἐπ’ ἄνθεσιν ἵζων] ἤγουν ἐπὶ πάσῃ δωροδοκίᾳ καὶ κακίᾳ ἐπικαθήμενος, μεταφορικῶς ἀπὸ τῶν μελισσῶν. Lh

book 404a εἴθε φαύλως: εἴθε ἐκ τοῦ ῥᾴστου καὶ οὕτως εὐχεροῦς· ἐπεὶ μηδὲ ἐλπίσας εἰς τοῦτο δόξης προελθεῖν ὁ Κλέων ἔδοξεν εὐδοκιμεῖν ἐκ τῶν περὶ Πύλον κατορθωμάτων. VΕΓΘΜ

book 404b ὥσπερ εὗρες: ὥσπερ ἐπέτυχες. ἐναργεῖ δὲ τῇ λέξει τῇ “εὗρες” κέχρηται. τὸ μὲν γὰρ καμάτῳ καὶ πόνῳ περιγενέσθαι τινὸς τῆς τοῦ κάμνοντος γνώμης καὶ προαιρέσεως ἔλεγχον ἔχει, τὸ δὲ εὑρεῖν ἁπλῶς τῆς παρασχούσης τύχης, οὐ τῆς αὐτοῦ τοῦ εὑρόντος γνώμης τὸ ἔργον. ὡς οὐκ ἐκ προνοίας τοῦ Κλέωνος κατορθώσαντος ἃ διεπράξατο, ἀλλ’ ἁπλῶς εὑρόντος εὕρημα. VΕΓ3ΘΜ

book 404c τὴν ἔνθεσιν: τὴν τροφὴν ⟦ἔνθεσις γὰρ ἡ τροφὴ⟧ τὴν ἐν τῷ πρυτανείῳ δοθεῖσαν αὐτῷ. VΕΓΘΜ

book 404d τὸ καμάτῳ καὶ πόνῳ τυχεῖν τινος ἀγαθοῦ, τῆς τοῦ τυχόντος ἐστὶν ἀρετῆς, τὸ δὲ κατὰ τύχην εὑρεῖν καὶ μὴ καμεῖν, τύχης. Lh

book 404e φαύλως] εὐχερῶς. Lh

book 404f εὗρες] ἐπέτυχες, καὶ οὐ διὰ τὴν ἀρετὴν ἐδόθη. Lh

book 404g τὴν ἔνθεσιν] τὴν τροφήν. Lh

book 405a ᾄσαιμι γὰρ τότε: τότε γάρ, φησίν, ἐπᾴσαιμί σοι τὸ Σιμωνίδου μέλος “πῖνε πῖν’ ἐπὶ συμφοραῖς”. ἐκ τῶν Σιμωνίδου δὲ τοῦτο Τεθρίππων. τὸ δὲ “συμφοραῖς” ἐπ’ ἐσθλοῖς· τῶν μέσων γὰρ ἡ συμφορά. VΕΓΘΜ

book 405b ᾄσαιμι] τὸ Σιμωνίδου μέλος. Lh

book 406 totus versus] ἐκ τῶν Σιμωνίδου τοῦτο Τεθρίππων. Lh

book 407a τὸν Ἰουλίου γέροντα: ὡς παιδεραστὴς οὗτος ὁ πρεσβύτης διεβάλλετο. οὐκ ἀργῶς δὲ τὴν ἡλικίαν ἐνταῦθα προστέθεικεν. διαβολὴν γὰρ ἐπὶ τοῖς νεωτέροις ἔχοντος τοῦ πράγματος, μείζονα τὴν αἰσχύνην ἐποίησεν ἐπ’ αὐτῷ, ᾧπερ γέροντι ὄντι ἀσελγαίνειν καὶ τὰ τοιαῦτα ὑβρίζειν πρόσεστι. παιδοπίπην δὲ τὸν παράγοντα καὶ παρακρουόμενον καὶ ἀναπείθοντα τὰ μειράκια. τοῦτον δὲ ὁ Κρατῖνος πυροπίπην λέγει, τουτέστι τὸν φύλακα τοῦ σίτου, ὡς εἰς τὸ πρυτανεῖον παρέχοντα ἄρτους. VΕΓ3ΘΜ

book 407b παιδοπίπην τοῦτον ἔλεγον ὡς προάγοντα καὶ ἀνακρουόμενον καὶ ἀναπείθοντα τὰ μειράκια. Κρατῖνος δὲ πυροπίπην λέγει, τουτέστι φύλακα τοῦ σίτου, ὡς εἰς τὸ πρυτανεῖον παρέχοντα ἄρτους. Lh

book 407c τὸν Ἰουλίου] ὡς παιδεραστὴς οὗτος ὁ πρεσβύτης διεβάλλετο. Lh

book 408a Βακχέβακχον ᾆσαι: εὐφημῆσαι τὸν Διόνυσον καὶ ἀνυμνῆσαι. Βάκχον δὲ οὐ τὸν Διόνυσον ἐκάλουν μόνον, ἀλλὰ καὶ πάντας τοὺς τελοῦντας τὰ ὄργια βάκχους ἐκάλουν, οὐ μὴν ἀλλὰ καὶ τοὺς κλάδους οὓς οἱ μύσται φέρουσι. μέμνηται δὲ Ξενοφάνης ἐν Σίλλοις οὕτως· “ἑστᾶσιν δ’ ἐλάτης 〈βάκχοι〉 πυκινὸν περὶ δῶμα.” ἔστι δὲ καὶ στεφάνης εἶδος, ὡς Νίκανδρος ἐν τῷ περὶ γλωσσῶν ἱστορεῖ· φησὶ γὰρ οὕτως· “βάκχοισιν κεφαλὰς περιάνθεσιν ἐστέψαντο.” VΕΓΘΜ

book 408b Βάκχον οὐ τὸν Διόνυσον ἐκάλουν, ἀλλὰ καὶ πάντας τοὺς τελοῦντας τὰ ὄργια, καὶ τοὺς κλάδους οὓς οἱ μύσται φέρουσιν. Lh

book 408c ἰηπαιωνίσαι] εἰς Ἀπόλλωνα ὕμνον ἀνυμνῆσαι. Lh

book 408d Βακχέβακχον] τὸν Διόνυσον. Lh

book 409a (ad vv. 409—40) διπλῆ καὶ στίχοι ἰαμβικοὶ ὅμοιοι λβ′, ὧν τελευταῖος “ἀνὴρ ἂν ἡδέως λάβοι”. VΕΓ3

book 409b ὑπερβαλεῖσθ’] νικήσετε, ἐκ μεταφορᾶς τῶν τρεχόντων. Lh

book 410a ἀγοραίου Διός: Ἀγοραῖος Ζεὺς ἵδρυται ἐν τῇ ἀγορᾷ καὶ ἐν τῇ ἐκκλησίᾳ. ΕΓΘΜ

book 410b ἀγοραίου] ἵδρυτο ἐν ἀγορᾷ καὶ ἐν ἐκκλησίᾳ ἄγαλμα Διός. Lh

book 411a ἔγωγε νὴ τοὺς κονδύλους: ὁ ἀλλαντοπώλης ἐστὶν ὁ λέγων. ἀποτείνεται δὲ πρὸς τὸν Κλέωνα καί φησιν ὅτι οὐχ ὥσπερ ἐκεῖνος τὴν δόξαν ῥᾳδίως εὗρε, τὸν αὐτὸν καὶ αὐτὸς εὐδοκίμησε τρόπον, ἀλλὰ πολλὰ πονήσας καὶ πολλοὺς κινδύνους ὑποστάς, κατορθώσας τε πολέμους πλείονας, αἰνιττόμενος τὰ περὶ Ἀκαρνᾶνας καὶ Αἰτωλίαν ⟦καθ’ ὧν εὐδοκίμησε στρατηγῆσαι φθάσασ⟧. VEΓ3ΘΜ (II) ἄλλως: ἀποτείνεται πρὸς τὸν Κλέωνα ὁ ἀλλαντοπώλης, ὅτι ἐκεῖνος μὲν εὐκόλως ἐστρατήγησεν, αὐτὸς δὲ πολλὰ κακοπαθήσας καὶ τυπτηθεὶς ἐν τῷ μαγειρείῳ. VEΓ3ΘΜ

book 411b ἐγκαυχᾶται νικήσειν τὸν Κλέωνα. οὐχ ὥσπερ γὰρ ἐκεῖνος, φησί, ῥᾳδίως εὗρε τὴν δόξαν, τὸν αὐτὸν καὶ αὐτὸς τρόπον εὐδοκίμησα· ἀλλ’ ἐκ παίδων πολλὰ πονήσας καὶ πολλοὺς κινδύνους ὑποστὰς καὶ ἔμπειρος γενόμενος οἶμαι νικήσειν σε. τοῦτο δὲ λέγει διὰ τὰς πληγὰς ἃς ἐν τῷ μαγειρείῳ καθ’ ἑκάστην ἐλάμβανε, τυπτόμενος ὑπὸ τῶν προεχόντων ἐν αὐτῷ πρεσβυτέρων. Lh

book 411c κονδύλους] τὰς ἐκ πυγμῆς πληγάς. Lh

book 411d πολλοῖς] πταίσμασι. Lh

book 413 ὑπερβαλεῖσθαι] νικῆσαι. Lh

book 414a (I) ἀπὸ μαγδαλιᾶς: ἀπὸ εὐτελοῦς τροφῆς ὁρμώμενος· μαγδαλιὰ γὰρ τὰ τῶν ἀλφίτων ἀποβλήματα. VEΓΘΜ (II) ἄλλως: ἡ τῶν κυνῶν τροφή, ἥτις ἦν σταῖς καὶ λίπος· οὕτως οὖν καὶ ὁ ποιητὴς εἶπεν 〈“ὡς δ’ ὅταν ἀμφὶ ἄνακτα κύνες δαίτηθεν ἰόντα σαίνως’.〉 αἰεὶ γάρ τε φέρει μειλίγματα θυμῷ”. μετὰ γὰρ τὸ δεῖπνον 〈εἰσ〉 τὸ σταῖς ἀπεψῶντο τὸ λίπος καὶ τοῖς κυσὶν ἐπέρριπτον. VEΓΘΜ (III) ἄλλως: τὸ σταῖς, ᾧ ἀπομάττονται οἱ μάγειροι, ὅπερ ἐκάλουν χειρόμακτρον. ὃ μετὰ τὴν ἐργασίαν ἀπέρριπτον τοῖς κυσίν. VEΓΘΜ

book 414b μαγδαλιὰ δέ ἐστι σταῖς, ἐν ᾧ ἀποψῶνται τὸ λίπος οἱ μάγειροι τὸ προσφυόμενον ἐν ταῖς χερσὶν αὐτῶν· ὃ καὶ μετὰ τὰ δεῖπνα τοῖς κυσὶ ῥίπτουσιν. Lh

book 414c μαγδαλιᾶς] εὐτελοῦς τροφῆς. Lh

book 416a (I) κυνοκεφάλῳ: ἑαυτὸν ὁ Κλέων λέγει κυνοκέφαλον, δεινὸν καὶ ἀναίσχυντον, ὁποῖος ἦν ὁ παρ’ Ἡσιόδῳ Γηρυονεύς, “Χρυσάωρ δ’ ἔτεκε τρικέφαλον Γηρυονῆα”. VEΓΘΜ (II) ἄλλως: τῷ κυνὸς κεφαλὴν ἔχοντι, τουτέστιν ἐμοὶ τῷ Κλέωνι. ἀφ’ ἧς δὲ προείρηκε τροφῆς, κυνοκέφαλον αὐτὸν εἶπεν, οἷον ἰταμὸν καὶ ἀναιδῆ καὶ ἁρπακτικόν, ἐπεὶ καὶ τὸ ζῷον τοιοῦτον. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· πῶς οἷόν τε, φησίν, εἰ κυνὸς τροφὴν ἐσθίων, τῷ ὁμογενεῖ καὶ ὁμοτρόπῳ μάχεσθαι διανοῇ; λέγει δὲ κυνικῷ, οἷον πονηρῷ καὶ βιαίῳ. VEΓΘΜ

book 416b κυνοκεφάλῳ] πονηρῷ δαίμονι καὶ βιαίῳ. M

book 416c πῶς, φησίν, εἰ κυνὸς τροφὴν ἐσθίεις, τῷ ὁμογενεῖ καὶ ὁμοιοτρόπῳ μάχεσθαι διανοῇ; λέγει δὲ ἑαυτὸν κυνοκέφαλον διὰ τὸ ἀναιδὴς εἶναι ὡς οἱ κύνες. Lh

book 416d βορὰν] ἥτις ἦν σταῖς καὶ λίπος. Lh

book 416e σιτούμενος] ἐσθίων. Lh

book 416f κυνοκεφάλῳ] ἑαυτὸν ὁ Κλέων κυνοκέφαλον λέγει παίζων διὰ τὸ εἰρηκέναι κυνὸς τροφήν. Lh

book 417 κόβαλα] πανουργεύματα, σοφίσματα, κλέμματα. EΓ3Lh

book 419a ὥρα νέα, χελιδών: παροιμιῶδες. ὁλόκληρος δέ ἐστι παροιμία. τὸ δὲ λεγόμενον, ἔστιν ἔαρος ἀρχή· δοκεῖ γάρ πως ἅμα τῷ ἔαρι φαίνεσθαι ἡ χελιδών. VEΓΘΜ

book 419b σκέψασθε] θεάσασθε, καταμάθετε, κατανοήσατε. VEΓ3

book 419c σκέψασθε] ἴδετε, καταμάθετε. Lh

book 419d χελιδών] δοκεῖ γάρ πως ἅμα τῷ ἔαρι φαίνεσθαι ἡ χελιδών. Lh

book 420a

οἱ δ’ ἔβλεπον: ἑώρων. ὑπὸ τῆς περιεργίας ἐξαγόμενα τὰ παιδία τῇ θέᾳ τὸν νοῦν προσεῖχον, πότε χελιδὼν παραπτήσεται, κἀκείνων περὶ τοῦτο ἐπτοημένων, ῥᾷστα αὐτὸς εἶχε τὸ κλέπτειν. VΕΓΘΜ

book 420b ἔβλεπον] τῇ θεωρίᾳ τὸν νοῦν προσεῖχον, πότε χελιδὼν παραπτήσεται. Lh

book 421a ὦ δεξιώτατον κρέας: ὦ κάλλιστον καὶ σοφώτατον κρέας· ἀντὶ τοῦ ὦ σοφώτατε ἄνθρωπε, διὰ τὸ κἀκεῖνον κεκλοφέναι, καὶ ὥσπερ τῇ δεξιᾷ χειρὶ ὑφῃρῆσθαι. VΕΓΘΜ

book 421b ὦ δεξιώτατον κρέας] ὦ σοφώτατε ἄνθρωπε· παίζων δὲ κρέας εἶπε πρὸς τὸν ἐκείνου λόγον. Lh

book 421c προὐνοήσω] τρόπον ἐξεῦρες κλοπῆς. Lh

book 422a (I) ἀκαλήφας: βοτάνης εἶδος, αἳ παρὰ τοῖς πολλοῖς κνίδαι καλοῦνται. ἐμνημόνευσε δὲ τῶν ἀκαληφῶν διὰ τὴν δριμύτητα τοῦ ἀλλαντοπώλου καὶ τὴν ἀγχίνοιαν, ὅτι κλοπῆς ἐξεῦρε τρόπον. δριμεῖα γὰρ ἡ βοτάνη, καὶ τοὺς θιγόντας κνᾶσθαι ποιεῖ. εἶπε δὲ πρὸ χελιδόνων, ἐπεὶ μετὰ τὴν χελιδόνα ἄβρωστοι αἱ κνίδαι. VΕΓΘΜ (II) ἄλλως: ἀκαλήφη εἶδος μυίας, ὡς Ἀριστοτέλης. ἐν τῷ χειμῶνι δὲ ἐδώδιμοί εἰσιν, ἐν δὲ τῷ θέρει ἀπόλλυνται. VΕΓΘ (III) ἄλλως: λάχανόν ἐστιν ἄγριον. καλεῖται δὲ καὶ θαλασσία ἀκαλήφη, ἣ προσελθοῦσα τῷ χρωτὶ κνησμὸν ποιεῖ. ἐοίκασι δὲ τῇ ὥρᾳ τῇ πρὸ τοῦ ἔαρος χρῆσθαι .... VΕΓΘ

book 422b πρὸ χελιδόνων] πρὸ ὥρας τοῦ ἔαρος· χειμῶνα δὲ δηλοῖ. ΕΓ3

book 422c ἡ ἀκαλήφη λάχανόν ἐστιν ἄγριον, λέγουσι δὲ εἶναι τὴν κνίδην, ἣ τοὺς θιγόντας κνᾶσθαι ποιεῖ, ἣν καὶ ἔτι νέαν οὖσαν ἐσθίουσιν ἄνθρωποι. εἶπε δὲ πρὸ χελιδόνων, ὅτι μετὰ τὴν τῶν χελιδόνων ἐπιφάνειαν ἄβρωτοι αἱ κνίδαι. Lh

book 422d ἀκαλήφας] τὰς λεγομένας κνίδας· τοῦτο δὲ διὰ τὴν δριμύτητα τοῦ ἀλλαντοπώλου. Lh

book 422e πρὸ χελιδόνων] ἤτοι κατὰ τὸν χειμῶνα. Lh

book 424a εἰς τὰ κόχωνα: κοχώνη τόπος ὑπὸ τὸ αἰδοῖον, 〈τὸ μεταξὺ〉 τῶν μηρῶν καὶ τῆς κοτύλης καὶ τῶν ἰσχίων· μέμνηται δὲ τῆς κοχώνης καὶ ἐν Σκηνὰς Καταλαμβανούσαις “ἀλλὰ συσπάσαι δεῖ τὰς κοχώνας.” οὐδετέρως δὲ ἔφη τὰ κόχωνα. VΕΓΘΜLh

book 424b totus versus] ὅτι καὶ οἱ στρατηγοὶ ἐπίορκοι λεληθότως φησί. ΕΓ3

book 424c ἀπώμνυν] ὅρκοις ἐπὶ τῷ μὴ κεκλοφέναι. ΕΓ3

book 424d κόχωνα] κοχώνη τόπος ὑπὸ τὸ αἰδοῖον καὶ τὸν μηρόν. Lh

book 426a ἐπιτροπεύσει: προηγήσεται, προστατήσει. οὐκ ἀργῶς δὲ ἐπὶ ἔνδοξον πρόσωπον τὴν τοιαύτην ἀνήγαγε κρίσιν. οὐ γὰρ ἰδίως φησί τινα εἰρηκέναι, ἀλλὰ ῥήτορα, καὶ προϊδεῖν καὶ συνιέναι πλέον τῶν ἄλλων δυνάμενον. VΕΓΘΜ

book 426b ἐπιτροπεύσει] προστήσεται. VΕΓ3

book 426c οὐκ ἀργῶς τοῦτο εἴρηκεν, ἀλλ’ ἐπὶ ἔνδοξον πρόσωπον ἀνήγαγε τὴν κρίσιν. οὐ γὰρ ἰδιώτης, φησίν, εἴρηκεν ὡς προστήσομαι τοῦ δήμου, ἀλλὰ ῥήτωρ ὁ συνιέναι πλέον τῶν ἄλλων δυνάμενος. Lh

book 426d ἐπιτροπεύσει] διοικήσει, προστήσεται τοῦ δήμου. Lh

book 427a δῆλον ἀφ’ οὗ ξυνέγνω: ἀπ’ αὐτῶν τῶν πραττομένων πρόδηλον ἦν τὸ ἀποβησόμενον. VΕΓΘΜ

book 427b εὖ γε ξυνέβαλεν] ὀρθῶς ἐνόησε καὶ οὐκ ἐσφάλη. Lh

book 427c ἀφ’ οὗ] αὐτό. Lh

book 427d ξυνέγνω] τὸ πρᾶγμα. Lh

book 428a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὀτιὴ ’πιώρκεις ἡρπακώς: πάλιν κἀνταῦθα τῶν πολιτευομένων καθάπτεται ὡς ἐξ ἐπιορκίας καὶ κλοπῆς συνεστηκότων καὶ τοιούτων ἐθῶν. διὰ τοῦτο καὶ τὸν ἀλλαντοπώλην διαπρέπειν ἐν τῇ πολιτείᾳ ὁ ῥήτωρ ἔφη. VΕΓ3ΘMLh

book 428b καὶ τὸ κρέας ὁ πρωκτὸς εἶχεν: ἤτοι τὴν μοχθηρίαν αὐτοῦ καὶ τὴν ῥυπαρίαν καὶ τούτῳ δείκνυσι τῷ τρόπῳ, ὅτι κατέκρυπτε ⟦κλέπτων⟧ ἐν τῷ πρωκτῷ κρέα, καὶ ταῦτα πάλιν αὐτὸς ἤσθιεν· ἢ διαβάλλειν εἰς ἀσέλγειαν αὐτὸν θέλει, ὡς δὴ παρὰ τὴν ἡλικίαν 〈τὰ〉 τῶν γυναικῶν παθόντα. VΕΓ3ΘM

book 428c κρέας] λαθεῖν γὰρ σπεύδων ὑπὸ τὸν πρωκτὸν τοῦτο ὑπέβαλεν. Lh

book 428d διὰ τοῦ τὸ κρέας εἰς τὸν πρωκτὸν ἐμβαλεῖν τὴν μοχθηρίαν καὶ ῥυπαρίαν αὐτοῦ δείκνυσιν, ὅτι ὅπερ ὑπὸ τὸν πρωκτὸν ἐτίθει κρέας πάλιν αὐτὸς ἤσθιεν· ἢ διαβάλλει εἰς ἀσέλγειαν ὡς τὰ τῶν γυναικῶν παθόντα παρ’ ἡλικίαν. Lh

book 429 τοῦ θράσους] ταύτης τῆς παρρησίας καὶ τοῦ φρονήματος. ΕΓ3Lh

book 430a καθιείς: παρεσκευασμένος. καθιεῖν δὲ κυρίως τὸ χαλᾶν τὰ τῶν νεῶν ἱστία. ταῦτα δὲ προσφόρως εἴρηκεν ὁ Κλέων. ἦν γὰρ σφοδρὸς ἐν τοῖς λόγοις. καθιεὶς οὖν ἀντὶ τοῦ καθειμένος. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἀνέμων. VΕΓ3Θ

book 430b καθιείς] πνέων ὡς ἐπὶ ἀνέμου. ΕΓ3Lh

book 430c ἔξειμι] ἐξέρχομαι, μεταφορικῶς ἀπὸ τῶν ἀνέμων. Lh

book 431a ὁμοῦ ταράττων τήν τε γῆν καὶ τὴν θάλατταν εἰκῇ: πᾶν ἐπὶ σοὶ μηχανησάμενος καὶ πάντα κινήσας ἐπιβουλῆς τρόπον. δι’ ὧν δὲ ἀπειλεῖ ἀδύνατα καὶ 〈ἀνθρωπίνης δυνάμεωσ〉 μείζονα, δι’ αὐτῶν δηλοῖ τὴν σπουδὴν τῆς ἐπιβουλῆς τῆς κατ’ αὐτοῦ. καθότι δὲ φορολογίας ἐκ τῆς γῆς καὶ τῆς θαλάσσης ἔλαβε ταῦτά φησιν. εἰκῇ δὲ ἀντὶ τοῦ ἁπλῶς καὶ ὡς ἔτυχε, μάτην· τουτέστιν ἐπ’ οὐδενὶ ἀναγκαίῳ καὶ σπουδαίῳ πράγματι, φανερὰν καὶ ἐν τούτῳ ποιῶν τὴν ἑαυτοῦ ἐξουσίαν, ἣν κατὰ τῆς πόλεως εὐτυχεῖ, εἰ ἐπ’ αὐτῷ καθέστηκε τὸν δῆμον κινεῖν καὶ παροξύνειν καθ’ ὧν βούλεται, καὶ ταῦτα ἐπ’ οὐδεμιᾷ προφάσει εὐλόγῳ. VΕΓ3ΘM

book 431b τήν τε γῆν καὶ τὴν θάλατταν] καὶ τοὺς κατὰ γῆν γὰρ καὶ κατὰ θάλατταν ἐτάραττεν ὁ Κλέων. Lh

book 431c εἰκῇ] μάτην, ὡς ἔτυχε. Lh

book 432a ἐγὼ δὲ συστείλας: καὶ τοῦτο παρεπιγραφή· ὃ γὰρ εἶπε, καὶ ποιεῖ· τουτέστι τὸ σκεῦος ὃ κατέθετο ⟦τῶν ἀλλάντων⟧ φθάσας ἐπιών, τοῦτο πάλιν ἀναιρούμενος τῆς θυμέλης ἐξάγει. VΕΓΘM

book 432b τοῦτο παρεπιγραφή· ὃ γὰρ κατέθετο τῶν ἀλλάντων φθάσας ἐπιών, τοῦτο καὶ αὖθις ἀνελόμενος τῆς θυμέλης ἐξάγει. Lh

book 433a κατὰ κῦμ’ ἐμαυτὸν: ἀπὸ τῶν ἀφιέντων ἑαυτοὺς κατὰ κῦμα φέρεσθαι. VΕΓ3M

book 433b κλάειν σε μακρὰ κελεύων: τὸ μὲν εἶδος ἀρχαῖον καὶ Ἀττικὸν τῆς συνθέσεως, ὡς μακρὰ χαίρειν σοι λέγω καὶ οἰμώζειν μακρά. τὸ δὲ λεγόμενον πρόδηλον. φησὶ γάρ, ἧττόν σου φροντίσας τῶν ἀπειλῶν ἀπελεύσομαι, ἢ καταλείψω σε ἐνταῦθα κλαίειν, ἵνα δόξῃ μὴ φιλονεικεῖν καὶ διαλοιδορεῖσθαι πρὸς αὐτόν. εἰώθασι γὰρ οἱ βελτίονες καὶ τῶν λοιδοριῶν ὑπερφρονεῖν τῶν ἡττόνων. VΕΓΘ

book 433c κλάειν σε μακρὰ κελεύω] ἀντὶ τοῦ καταφρονῶ σου. ΕΓ3MLh

book 433d κατὰ κῦμ’ ἐμαυτὸν] ἀπὸ τῶν ἀφιέντων ἑαυτοὺς κατὰ κῦμα φέρεσθαι· Ἀττικὴ ἡ σύνθεσις τοῦ λόγου. Lh

book 434a (I) κἄγωγ’ ἄν τι παραχαλᾷ: ἑξῆς καὶ οὗτος τῆς ἀντλίας ἐμνημόνευσεν, ἵνα καὶ αὐτὸς ἴδιον ἀπὸ τῆς θαλάσσης δοκῇ ἀστεΐζεσθαι, ὥσπερ καὶ ὁ ἀλλαντοπώλης. ἀντλία δὲ λέγεται τόπος τις τοῦ πλοίου εἰς ὃν τὸ ὕδωρ σωρεύεται ⟦εἰς τὴν ναῦν⟧. λέγει δὲ ὅτι φυλάξω, ἐάν τις τῆς ἀντλίας

εἰσδέχηται. ἰστέον δὲ ὅτι ἱστάμενον καὶ χρονίζον τὸ ὕδωρ κάκιστον ὄδωδεν. τί ποτε οὖν βούλεται τῷ ποιητῇ ζητητέον τὸ ἀπειλεῖν τούτῳ παραφυλάξειν τὴν ἀντλίαν, πλὴν εἰ μὴ τοὺς προειπόντας ὡς καὶ αὐτοὺς ψυχρολογήσαντας σκώπτειν θέλει διὰ τὸ ἀδύνατα εἰρηκέναι. οὔτε γὰρ τῷ Κλέωνι δυνατὸν ἦν ἀνθρώπῳ γε ὄντι κινῆσαι τὴν γῆν καὶ τὴν θάλασσαν, οὔτε τῷ ἀλλαντοπώλῃ ῥῖψαι καὶ δισκεῦσαι κατὰ κυμάτων ἑαυτόν. καὶ τοῦτο ἀνόητον καὶ περιττόν, ὁ ἐπὶ τῇ ἀντλίᾳ τῆς φρουρᾶς πόνος. VEΓ3Θ (II) ἄλλως: περὶ τοῦ ῥηθέντος παρὰ τοῦ Κλέωνος λόγου, ὅτι συνταράξω τὴν θάλασσαν, καὶ οὗτος ἀπήντησεν εἰπών. VEΓ3

book 434b σκώπτειν βουλόμενος αὐτοὺς εἰρηκότας ἀδύνατα ποιῆσαι τοῦτο λέγει. οὔτε γὰρ τῷ Κλέωνι δυνατὸν ἀνθρώπῳ γε ὄντι κινῆσαι τὴν γῆν καὶ τὴν θάλατταν, οὔτε τῷ ἀλλαντοπώλῃ ἀσφαλὲς ῥῖψαι κατὰ κυμάτων ἑαυτόν. διὰ τοῦτο καὶ αὐτὸς ἀνόητόν τι εἴρηκε καὶ περιττόν, τὸ τὴν ἀντλίαν φυλάξαι· τὸ γὰρ συναχθὲν ἐκεῖ ὕδωρ χρονίζον κάκιστον ὄδωδε, καὶ οὐκ ἄν τις ἑκὼν τούτῳ πλησιάσειεν. ἀντλία δέ ἐστι τόπος τοῦ πλοίου εἰς ὃν τὸ ὕδωρ εἰσρέει. Lh

book 434c ἀντλία] τόπος τοῦ πλοίου ἔνθα συνάγεται τὸ ἔξωθεν εἰσερχόμενον ὕδωρ. Lh

book 435 οὐ καταπροΐξῃ: οὐ προῖκά μου καταφρονήσεις, τουτέστι δωρεάν. VEΓ3MLh

book 436a τοῦ ποδὸς παρίει: μεταφορικῶς ἀπὸ τῶν πλεόντων ἐχρήσατο. ἐπειδὰν γὰρ πλείων ἄνεμος ἐμπέσῃ τοῖς πλέουσι, συστέλλουσι καὶ παραιροῦσι τῶν ἱστίων τὰ πολλά, ἢ τὸ μὲν ἓν μέρος τοῦ ἱστίου ἐντείνεται, τὸ δὲ ἕτερον ἀναστέλλεται οὗ ἂν μὴ χρεία ᾖ ἢ ὁ καιρὸς ἀπαιτῇ. πόδας δὲ καλοῦσιν οἱ ναῦται τοὺς παρ’ ἑκάτερα τὰ μέρη κάλους ἐκδεδεμένους τῆς ὀθόνης. φησὶν οὖν, ἀσφαλέστερον λοιπὸν διαλέγου καὶ πρᾶττε, τουτέστι μὴ πολλῇ χρῶ ἀθυρογλωττίᾳ, ἀλλὰ πεφεισμένως διαλέγου τῷ Κλέωνι. παροξύνεται γὰρ σφόδρα. VEΓΘMLh

book 436b ἄθρει] βλέπε, σκόπει. Lh

book 436c παρίει] ἀμέλει, ἤγουν ὑποχάλα. Lh

book 437a κακίας καὶ συκοφαντίας: ἐπειδὴ ψευδῆ κατηγορεῖν ὁ Κλέων ἐτόλμησεν αὐτοῦ, φήσας αὐτὸν σφετερίσασθαι τάλαντα τῆς πόλεως πολλά, καὶ οὐκ ἄν ποτε συγχωρήσειν προῖκα τῷ αὐτῷ, διὰ τοῦτο πνεῖν φησὶν αὐτὸν .... καὶ συκοφαντίας, ὃ χρὴ στοχάσασθαι τὸν ἀλλαντοπώλην. ἑξῆς δὲ ἀπὸ τῶν ἀνέμων τῷ πνεῖν .... καὶ συκοφαντίας κέχρηται. VEΓ3Θ (II) ἄλλως: ὄνομα ἀνέμου ὁ καικίας· τὸν δὲ αὐτὸν καὶ νότον καλοῦσί τινες. οὗτος δὲ ὅτ’ ἐμπνεῖ τὰ νέφη εἰς ἑαυτὸν ἕλκει. ἀκολούθως δὲ εἶπε διὰ τὸ προειρηκέναι “τοῦ ποδός”, ἅμα δὲ πρὸς τὴν συκοφαντίαν καὶ κακίαν αὐτοῦ τὰ ὀνόματα πλάττει. VEΓ3Θ

book 437b φησὶν οὖν ταῦτα καθ’ ἑαυτὸν ὁ ἀλλαντοπώλης. πρὸς τὸ καικίας ἔπαιξεν ὄνομα ὂν ἀνέμου. οὗτος ὅτε πνεῖ τὰ νέφη εἰς ἑαυτὸν ἕλκει, ὅθεν καὶ “ἕλκων εἰς ἑαυτὸν ὥστε καικίας νέφος”. ἐπεὶ ψευδῆ κατηγορεῖν ὁ Κλέων ἐτόλμησεν, αὐτὸν φήσας σφετερίσασθαι τῆς πόλεως τάλαντα πολλά, καὶ οὐκ ἄν ποτε συγχωρήσειν προῖκα ⟦πνέων ὡς ἐπὶ ἄνεμον⟧ αὐτό· διὰ τοῦτο πνεῖν αὐτόν φησι καὶ συκοφαντίας· ὃ χρὴ στοχάσασθαι. τὸν ἀλλαντοπώλην λέγει· ἑξῆς καὶ τῇ ἀπὸ τῶν ἀνέμων συκοφαντίᾳ κέχρηται. M

book 437c πνεῖ] ἐπειδὴ ψευδῆ ψευδῶς κατηγορεῖν ὁ Κλέων ἐτόλμησεν αὐτοῦ εἰπὼν τάλαντα πολλὰ κλέψαι. Lh

book 438a Ποτιδαίας: ἔπαιξε τῷ ὀνόματι, ἵνα ἀκολούθως ἀπὸ τῆς θαλάσσης καὶ τῶν ἀνέμων ἀποκρίνεσθαι καὶ αὐτὸς δοκῇ. ἡ δὲ Ποτιδαία πόλις ἐστὶ πρὸς τῷ Ἰσθμῷ τῆς Παλλήνης κατῳκισμένη, Κορινθίων μὲν ἄποικος, Ἀθηναίων δὲ σύμμαχος, καὶ φόρους ἐτέλει. ἣν ἀποστᾶσαν πολιορκήσαντες οἱ Ἀθηναῖοι πολιορκίᾳ μακρᾷ, ὡς καὶ σφῶν αὐτῶν γεύεσθαι καταναγκάσαι, παρέλαβον καὶ ἐξηνδραπόδισαν τὴν πόλιν. ἀπὸ ταύτης φησὶ τῆς πόλεως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κεκλοφέναι δέκα τάλαντα τὸν Κλέωνα, καὶ τούτῳ φιλονεικῶν αὐτὸν ἀμείβεσθαι τοῖς ἴσοις, ἐπεὶ πρότερος ἐκεῖνος ἔφησεν αὐτὸν σφετερίσασθαι τῆς πόλεως τάλαντα πολλά. VEΓΘM

book 438b δέκα τάλαντα: χρησίμως μετὰ τὸν τόπον καὶ τὸν ἀριθμὸν εἶπεν, ἵνα ὁ λόγος αὐτῷ πίστεως ἔχεσθαι δοκῇ, καὶ μὴ ⟦μάτην⟧ ἄλλως ⟦περὶ⟧ τῆς τοῦ Κλέωνος διαβολῆς λελέχθαι χάριν. πίστεως γὰρ παράδειγμα 〈τὸ〉 κατηγοροῦντα μὴ ψιλοῖς χρῆσθαι ῥήμασιν, ἀλλὰ καὶ ἀριθμὸν προσβάλλεσθαι καὶ τόπον. VEΓ3Θ

book 438c Ποτιδαίας] πόλις Θρᾴκης. EΓ3

book 438d ἱστορία περὶ Ποτιδαίας: ἡ Ποτιδαία πόλις ἦν πρὸς τῷ ἰσθμῷ τῆς Παλλήνης κατῳκισμένη, Κορινθίων μὲν ἄποικος, Ἀθηναίων δὲ σύμμαχος, οἷς καὶ φόρους ἐτέλει. ἀποστᾶσαν δὲ πολιορκήσαντες οἱ Ἀθηναῖοι πολιορκίαν μακράν, ὡς καὶ σφῶν αὐτῶν γεύσασθαι, παρέλαβον καὶ ἐξηνδραπόδισαν. φησὶν οὖν ἀπὸ ταύτης τῆς πόλεως κεκλοφέναι δέκα τάλαντα, φιλονεικῶν τοῖς ἴσοις ἀμείβεσθαι. ἔφη γὰρ σφετερίσασθαι αὐτὸν πολλὰ τάλαντα. Lh

book 438e Ποτιδαίας] πόλις Θρᾴκης, ἡ Κασσανδρεία. παίζει ἵνα καὶ αὐτὸς ἐκ τῆς θαλάττης καὶ τῶν ἀνέμων ἀποκρίνασθαι δοκῇ. Lh

book 439 βούλει τῶν ταλάντων: δεῖ νοῆσαι τὸν Κλέωνα ἐπὶ τῇ ἐλπίδι καὶ τῇ ἐπαγγελίᾳ τοῦ ταλάντου πεισθέντα ἐνδοῦναι. πρὸς ὃ φησὶν ὁ ἕτερος, “τὸ πνεῦμ’ ἔλαττον γίγνεται”. VEΓ3ΘLh

book 440a τερθρίους: οἱ ἔσχατοι κάλοι, οὓς ἐκφόρους καλοῦσιν οἱ ναῦται, οὓς ὅταν ἐνδιδῷ τὸ πνεῦμα πρώτους ἐκ πρῴρας χαλῶσι. καὶ οὗτος οὖν ἀκολούθως τοῦτο εἶπε, διὰ τὸ πρόαγον “τοῦ ποδὸς παρίει”. φησὶν οὖν, ὁ Κλέων πάντων ἂν ὑπερίδοι ἕνεκεν λήμματος. VEΓ3Θ

book 440b τοὺς τερθρίους] τοῦ ἱστοῦ τὸν τόνον. VEΓ3

book 440c τοὺς τερθρίους] τοῦ ἱστοῦ τὸν τόνον, ἤγουν τοὺς ἐσχάτους κάλως οὓς ἐκφόρους καλοῦσιν. Lh

book 441a τὸ πνεῦμ’ ἔλαττον γίγνεται: ἐπέμεινε τῇ τροπῇ τῶν ὀνομάτων. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὅτι ἐπιεικέστερος ἔσται καὶ πρᾳότερος· λοιπὸν γὰρ ἐπειδὴ φθάσας εἶπεν ἤτοι κακίας καὶ συκοφαντίας αὐτὸν πνεῖν, διὰ τοῦτο πάλιν οἰκείως ἔλαττον ἔφη αὐτοῦ γίγνεσθαι τὸ πνεῦμα. VEΓΘM

book 441b τὸ πνεῦμ’ ἔλαττον γίγνεται] ἤγουν ἐπιεικέστερός ἐστι καὶ πρᾳότερος· ἐπέμεινε δὲ τῇ τροπῇ. Lh

book 441c (ad vv. 441—60) τὸ πνεῦμ’ ἔλαττον: ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ἰαμβικῶν ις′. ὧν τὸ πρῶτον δίμετρον ἀκατάληκτον, ὁ δεύτερος τρίμετρος στίχος ἀκατάληκτος, τὰ ἑξῆς ιβ′ δίμετρα ἀκατάληκτα Ἀνακρεόντεια, τὸ πεντεκαιδέκατον μονόμετρον ἀκατάληκτον, ὃ καὶ παρατέλευτον ὀνομάζεται, τὸ δὲ ἑξκαιδέκατον τὸ “χὤπως κολᾷ τὸν ἄνδρα”, δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, ὃ καλεῖται Ἀνακρεόντειον, ὡς εἴρηται. ἑξῆς δὲ τούτων στίχοι ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ δ′, ἐν ἐπῳδοῦ τάξει κείμενοι. ἐπὶ τῷ τέλει τῆς μὲν ἐκθέσεως δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος, τοῦ δὲ συστήματος κορωνίς. Lh

book 442a φεύξει γραφὰς: διώκειν καὶ φεύγειν ἔλεγον ἐπὶ τῶν κατηγόρων καὶ τῶν ἀπολογουμένων. ἐδίωκον μὲν γὰρ οἱ κατήγοροι, ἔφευγον δὲ οἱ κατηγορούμενοι. φησὶν οὖν ὅτι κατηγορηθήσῃ δίκας τέτταρας ἑκατονταλάντους. VEΓΘM

book 442b διώκων ἐστὶν ὁ κατηγορῶν, φεύγων δὲ ὁ κατηγορούμενος, ἐκ μεταφορᾶς τοῦ διώκοντος καὶ φεύγοντος ἐπὶ κλοπῇ ἤ τινι τοιούτῳ. Lh

book 442c φεύξει γραφὰς] κατηγορηθήσῃ κατηγορίας. Lh

book 443 ἀστρατείας] ὡς δειλός. EΓ3Lh

book 445a (I) ἐκ τῶν ἀλιτηρίων: τῶν μετεχόντων τοῦ Κυλωνείου ἄγους, ὅπερ εἰς τὴν Ἀθηνᾶν δοκεῖ γενέσθαι ἀσέβημα, ἐπειδήπερ οἱ συγκατακλεισθέντες τῷ Κύλωνι ἐν τῇ ἀκροπόλει εἰς τὴν

κρίσιν κατέβησαν ἐν Ἀρείῳ πάγῳ, ἐκ τοῦ ἕδους τῆς θεοῦ ἐξάψαντες τὴν ἱκετηρίαν. ἧς διαρρυείσης λίθοις αὐτοὺς ἔβαλλον οἱ Ἀθηναῖοι. ἀλιτηρίων δὲ ἀντὶ τοῦ ἐναγῶν. VEΓ3Θ (II) ἄλλως: ἐκ τῶν ἀλιτηρίων: τῶν ἁμαρτόντων εἰς τὴν Ἀθηνᾶν. Κύλων γὰρ Ἀθηναῖος ἀνήρ, Μεγαρίδα γυναῖκα γήμας, Θεαγένους θυγατέρα, θέλων τυραννεῖν ἔλαβε χρησμὸν τῇ μεγάλῃ ἑορτῇ τοῦ Διὸς ἐπιθέσθαι τῇ πόλει. ἐν Ὀλυμπίοις δὲ ἐπιθέμενος, νομίζων ταύτην εἶναι 〈τὴν〉 μεγάλην ἑορτήν,

book 445a δύναμιν προσλαβὼν παρὰ Θεαγένους, μὴ γνοὺς ὅτι τὰ Διάσια ἦν ἡ μεγάλη ἑορτή, ἐπελθὼν τῇ ἀκροπόλει ἐλῄστευε καὶ ἁλίσκεται. ἐλήφθη δὲ καὶ συλῶν τὸ ἱερὸν τῆς Ἀθηνᾶς. καὶ αὐτὸς μὲν ὁ Κύλων φεύγει, τοὺς δὲ ἄλλους φονεύουσι, τινὰς δὲ καὶ ἱκέτας ἐκ τῶν βωμῶν ἀποσπάσαντες ἀπέκτειναν. τοὺς δὲ ἁμαρτόντας εἰς τοὺς ἱκέτας ἀλιτηρίους ἔφασκον· οὓς καὶ ἐξέβαλον τῆς πόλεως, ὅτι ἐκ τῶν ἀρχαίων νόμων παρέβησαν τοὺς ἱκέτας φονεύσαντες. VEΓ3ΘMLh (III) ἄλλως: Κύλων τὴν ἀκρόπολιν κατέλαβεν ἐπὶ τυραννίδι, καὶ ἐλήφθη ποτὲ συλῶν τὸ ἱερὸν τῆς Ἀθηνᾶς, καὶ ὑπὸ Ἀθηναίων ἐκλείσθη. καὶ οὕτως ἐκεῖνος εὑρὼν καιρὸν φυγῇ ἐχρήσατο, καὶ οἱ φίλοι ἔφυγον εἰς τοὺς βωμοὺς τῶν θεῶν. οὓς οὗτοι ἀποσπάσαντες ἀπέκτειναν, ὅθεν ἀλιτήριοι ἐκλήθησαν.

book 445a VEΓ3

book 445b ἀλιτηρίων: ἀντὶ τοῦ ἐναγῶν. M

book 445c ἀλιτηρίων τῶν ἐναγῶν, τῶν ἀσεβησάντων εἰς τὴν Ἀθηνᾶν. Lh

book 448 τῶν δορυφόρων: οἱ περιέποντες καὶ φρουροῦντες τοὺς τυράννους· θέλων γὰρ τυραννεῖν δορυφόρους εἶχεν αὐτούς. VEM

book 449a (I) τῶν Βυρσίνης τῆς Ἱππίου: ἔπαιξε καὶ παρὰ τὸ βυρσοδέψην εἶναι τὸν Κλέωνα, καὶ παρὰ τὸ τοῦ τυράννου ὄνομα τοῦ Ἱππίου, ᾧπερ ⟦τῷ ὀνόματι τοῦ Ἱππίου⟧ περιεργότερον ἐχρήσατο. δῆλον μὲν γὰρ καὶ ἐκ τῶν προειρημένων, οὐχ ἥκιστα δὲ καὶ ἀπὸ τούτων, ὅτι μὴ αὐτὸς ὁ Ἱππίας κατέστησε τὴν τυραννίδα, ἀλλὰ παρὰ τοῦ πατρὸς ἅμα τοῖς ἀδελφοῖς παρέλαβε ⟦τοῦ Πεισιστράτου⟧. οὗ οὐ πάντως ἂν ἐμνημόνευσεν, εἰ μὴ χρησιμώτερον τὸ ὄνομα τοῦ Ἱππίου πρὸς τὸ συνάψαι τῇ Βυρσίνῃ κατεφαίνετο. οὐκ ἄδηλόν ἐστι τοῦ Κλέωνος διαβάλλοντος αὐτὸν ὡς τῶν ἀλιτηρίων γεγονέναι, 〈τὸν ἀλλαντοπώλην ἀντιδιαβάλλειν τὸν Κλέωνα, ὡσ〉 τῶν ἐπιβουλευσάντων τῇ πόλει καὶ τοῖς τυράννοις συναραμένων. VEΓΘM (II) ἄλλως: Πεισιστράτου γυνὴ γέγονεν ἡ Μυρρίνη, Ἱππίου καὶ Ἱππάρχου μήτηρ. Βυρσίνην οὖν εἶπεν ἀντὶ τοῦ Μυρρίνην, ὡς βυρσοπώλην πάλιν κωμῳδῶν τὸν Κλέωνα. ταύτην ὁ Πεισίστρατος, ὁπότε κατήγαγεν εἰς Ἀθήνας ἐφ' ἅρματος, ἔφασκεν Ἀθηνᾶν εἶναι βουλόμενος τυραννεῖν. VEΓΘMLh

book 449b Βυρσίνης] Μυρσίνης ὤφειλεν εἰπεῖν. Lh

book 449c τῆς] μητρός. Lh

book 450 κόβαλος εἶ: προειρήκαμεν ὅτι τοὺς μετὰ ξύλου λῃστὰς οὕτως ἐκάλουν οἱ παλαιοί. VEΓ3Lh

book 451a ἰοὺ ἰού: τοῦτο παρεπιγραφή· τυπτόμενον γὰρ ὑποκρίνεται. σχετλιαστικὸν δὲ τὸ ῥῆμα. VEΓ3M

book 451b ἰοὺ ἰού] τυπτόμενος βοᾷ. Lh

book 452 οἱ ξυνωμόται: οἱ ἀντάρται, οἱ προδόται, οἱ τὰ αὐτὰ κατ' ἐμοῦ συνθέμενοι φρονεῖν. VEΓ3Lh

book 453a παῖ' αὐτόν: ἰστέον ὅτι ὁ χορὸς ταῦτα τῷ ἀλλαντοπώλῃ παρακελεύεται. ἀστείως δὲ διὰ τὴν ἐκείνου τέχνην εἴς τε τὰ ἔντερα καὶ τὸν κόλον αὐτὸν τύπτειν κελεύει. μάλιστα γὰρ ἡ τῶν ἀλλαντοπωλῶν ἐκ τούτων συνέστηκε τέχνη. VEΓΘM

book 453b ἀνδρικώτατα] ἰσχυρότατα. VEΓ3

book 454 γάστριζε] εἰς τὴν γαστέρα τύπτε· διὰ τούτων τὴν τέχνην αὐτοῦ δείκνυσι. Lh

book 455

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ τοῖς κόλοις] παρατέλευτον καὶ τοῦτο. Lh

book 456a κολᾷ τὸν ἄνδρα: κολούσεις καὶ παύσεις καὶ ταπεινώσεις· ἀπὸ δὲ τοῦ κόλου καὶ τῶν ἐντέρων τὴν λέξιν ἐποίησεν. ἴσως δὲ καὶ αὐτὸν τύπτουσιν. VΕΓΘΜ

book 456b κολᾷ] κολάσεις. ΕΓ3

book 456c ὅπως] σκόπει. Lh

book 456d κολᾷ] κολάσεις· ἀπὸ δὲ τῶν κόλων τὴν λέξιν ἐποίησεν. Lh

book 456e 〈 〉. Lh

book 457 γεννικώτατον κρέας] ἰσχυρότατον· παίζων κρέας αὐτὸν λέγει ἐκ μεταφορᾶς τῶν ἰσχυρῶν κρεῶν ἃ οὐ κατεργάζεται τῷ πυρί. Lh

book 459 totus versus] ἐπιτηδείως αὐτὸν καὶ ὑπούλως διὰ τῶν λόγων ἐνίκησας τῶν σῶν. Lh

book 460 . Lh

book 462a ἀλλ' ἠπιστάμην: ὑψηλὸς ὢν καὶ μεγαλόφωνος ὁ Κλέων πολυτρόποις λόγοις κέχρηται. VΕΓΘΜLh

book 462b τεκταινόμενα] σκευαζόμενα καὶ ἐπ' ἐμοὶ μηχανώμενα. ΕΓ3Lh

book 463a γομφούμενα: σφηνούμενα. γόμφοι γὰρ οἱ σφῆνες οἱ συνείροντες τὰς σάνιδας καὶ συναρμονιῶντες καὶ συνέχοντες. VΕΓΘΜLh

book 463b γομφούμενα] ἁρμοζόμενα. ΕΓΓ3Θ

book 464a (I) ἐξ ἁμαξουργοῦ λέγεις: τοῦ Κλέωνος τεκτονικῶς φθεγξαμένου, παροξύνεται ὁ ἀλλαντοπώλης μιμήσασθαι αὐτόν. M (II) 〈ἄλλως〉: ἁμαξουργοὺς Ἀττικοὶ τοὺς ἀγριοπηγούς. εἶδος δὲ ἀγριοπηγοὶ τεκτόνων, οἳ τὰς ἁμάξας τεκταίνουσι καὶ πάντων τῶν ἀγρίων ξύλων εἰσὶν ἐργάται. ἐπειδὴ δὲ ὁ Κλέων τεκτονικοῖς ὀνόμασι πᾶσιν ἐχρήσατο, "τεκταινόμενα" εἰπὼν καὶ "γομφούμενα", ὁ δὲ ἀλλαντοπώλης οὐδὲν ἀπὸ τεκτονικῆς ἀπαντᾷ, ὁ χορὸς ὥσπερ δέδιε μὴ ἧττον ἀπενέγκηται τοῦ Κλέωνος καὶ ἀσχάλλει καὶ δυσφορεῖ, ὅτι οὐδὲν ἀντέθηκε τοιοῦτον ῥῆμα. VΕΓ3Μ

book 464b ἐπεὶ ὁ Κλέων τεκτονικοῖς ὀνόμασιν ἐχρήσατο εἰπὼν "γομφούμενα" καὶ "κολλώμενα", ὁ ἀλλαντοπώλης δὲ οὐδὲν ἀπὸ τεκτονικῆς εἶπεν, ὁ χορὸς ὥσπερ δέδιε μὴ ἧττον ἀπενέγκηται τοῦ Κλέωνος καὶ ἀσχάλλει καὶ δυσφορεῖ, ὅτι μηδὲν ἀντέθηκε τοιοῦτο ῥῆμα. Lh

book 464c ἁμαξουργοῦ] τέκτονος ἁμάξας ἐργαζομένου. Lh

book 465 οὔκουν μ' ἐν Ἄργει: παρὰ τὸν πόλεμον τὸν Πελοποννησιακὸν τοῦτο εἴρηκε. καίτοι πρότερον ἐχθροὶ ὄντες τοῖς Ἀργείοις οἱ Ἀθηναῖοι, διὰ τὴν πρὸς Λακεδαιμονίους ἀπέχθειαν ἔδοξαν αὐτοῖς γενέσθαι φίλοι. φησὶν οὖν ὅτι ὁ Κλέων ἐπὶ βλάβῃ τῆς πόλεως τὴν Ἀργείων φιλίαν προξενῶν οὐ λανθάνει με, σπείσασθαι πρὸς τοὺς Ἀργείους πείθων τὴν πόλιν, παρρησίαν εἰς τὸ συγγενέσθαι τοῖς Λακεδαιμονίοις ἑαυτῷ περιποιούμενος. VΕΓΘΜLh

book 466 ποιεῖ] κοινή. Lh

book 468a καὶ ταῦτ' ἐφ' οἷσίν ἐστι συμφυσώμενα: ἐπὶ τίνι συμπνέουσι καὶ ὁμοφρονοῦσιν ὅ τε Κλέων καὶ οἱ Λακεδαιμόνιοι, φησὶν αὐτὸς οὐκ ἀγνοεῖν. ἐπεὶ δὲ ὁ Κλέων τεκτονικοῖς τισιν ὀνόμασιν ἐχρήσατο, πάλιν οὗτος χρῆται χαλκευτικοῖς. φυσώμενα δὲ εἶπε διὰ τὰς φύσας τὰς χαλκευτικάς. τὸ δὲ "χαλκεύεται" ὡς πρὸς τὰς φύσας ἐπήνεγκεν. ἔστι δὲ ὅμοιον τῷ τεκταίνεται. πάντα δέ, φησί, πράττεται τῷ Κλέωνι, ὅπως οἱ ἄνδρες τῶν δεσμῶν ἐκφύγοιεν. VΕΓΘΜLh

book 468b συμφυσώμενα] συμπνεόμενα, κατασκευαζόμενα. ΕΓΓ3ΘLh

book 469a τοῖς δεδεμένοις: τουτέστι τοῖς τριακοσίοις τῶν Λακεδαιμονίων, οὓς ἀπὸ Πύλου καὶ Σφακτηρίας ἤγαγεν, οὓς εἶπεν ἀποδεδόσθαι βούλεσθαι τὸν Κλέωνα. VΕΓΘΜ

book 469b ἐγᾧδ’] ἐγὼ οἶδα. Lh

book 469c τοῖς δεδεμένοις] τοῖς τριακοσίοις Λακεδαιμονίοις οὓς ἐκ Πύλου ἤγαγεν. Lh

book 469d χαλκεύεται] κατασκευάζει, ἤγουν ἀποδόσθαι βούλεται αὐτούς. Lh

book 470a εὖ γ’ εὖ γε χάλκευε: ὑπερεπαινεῖ πάλιν ἐνταῦθα ὁ χορὸς τὸν ἀλλαντοπώλην, ὅτι ἀντὶ τῶν τεκτονικῶν ῥημάτων αὐτὸς χαλκευτικὰ φθέγγεται. VEΓΘM

book 470b ὁ χορὸς ἐπαινεῖ τὸν ἀλλαντοπώλην, ὅτι ὥσπερ ἐκεῖνος τεκτονικά, οὕτω καὶ αὐτὸς χαλκευτικὰ ἐφθέγξατο. Lh

book 471a (I) καὶ ξυγκροτοῦσι: συνέχουσι καὶ συμπράττουσι καὶ οὐδένα καιρὸν παραλείπουσι τοῦ πείθειν τὸν Κλέωνα τοῖς δεδεμένοις δοῦναι σωτηρίας ἀφορμήν. VEΓΘM (II) ἄλλως: ἐπέμεινε τῇ μεταφορᾷ τῇ ἀπὸ τῶν χαλκέων· ἀντὶ τοῦ συμπράττουσιν. VEΓΘM

book 471b ξυγκροτοῦσιν] συνέχουσι καὶ συμπράττουσι. καὶ τοῦτο δὲ χαλκευτικόν. Lh

book 471c αὔτ’] αὐτά. Lh

book 471d ἐκεῖθεν] ἐκ τῆς τῶν Λακεδαιμονίων χώρας. Lh

book 474 οὐκ Ἀθηναίοις φράσω: ἡ σύνταξις Ἀττική. λέγει δὲ ὅτι εὐθὺς καὶ παραχρῆμα. VEΓΘLh

book 476 τὰς ξυνωμοσίας: τὰς ἐπὶ καθαιρέσει τοῦ δήμου ἐνόρκους συνόδους. VEΓΘMLh

book 477a τὰς ξυνόδους τὰς νυκτερινάς: ὅτι νυκτὸς οὔσης κατὰ τῆς πόλεως ἐβουλεύεσθε. τὸ δὲ “ἐπὶ τῇ πόλει” ἀντὶ τοῦ κατὰ τῆς πόλεως. VEΓΘ

book 477b ἐπὶ τῇ πόλει] κατὰ τῆς πόλεως. EΓ3

book 477c ἐπὶ τῇ πόλει] τὰς ἐν τῇ πόλει γινομένας, ἤγουν τὰς κατὰ τῆς πόλεως. Lh

book 478a καὶ πάνθ’ ἃ Μήδοις καὶ βασιλεῖ ξυνόμνυτε: φθάσας ὁ ἀλλαντοπώλης διέβαλεν αὐτὸν ἐπὶ βλάβῃ τῆς πόλεως Ἀργείοις καὶ Λακεδαιμονίοις ξυνιέναι. διὰ τοῦτο καὶ ὁ Κλέων ὡς τῷ τῶν Περσῶν βασιλεῖ προδιδόντας αὐτοὺς τὰ τῆς πόλεως αἰτιᾶται πράγματα. VEΓΘMLh

book 478b ξυνόμνυτε: συμπράττετε καὶ κοινολογεῖσθε. καλῶς δὲ τῆς διαβολῆς οὐκ ἀπατᾶται ⟦τῆς δι’ αὐτῶν⟧, ξυνωμότας αὐτοὺς τῷ Περσῶν βασιλεῖ γεγονέναι λέγων, ἵνα ὥσπερ ἔθος δείξῃ τοῦτο καὶ βεβαιώσῃ ὅτι καὶ μετὰ τούτου ξυνωμοσίαν πεποίηνται. VEΓΘ

book 478c ξυνόμνυτε] συμπράττετε καὶ κοινολογεῖσθε. Lh

book 478d ἵνα δείξῃ ἀληθὲς εἶναι τὸ ὅτι καὶ κατ’ αὐτοῦ ξυνωμοσίαν πεποίηνται, ξυνωμότας αὐτοὺς τῷ Περσῶν βασιλεῖ γεγονέναι λέγει. Lh

book 479a συντυρούμενα: συμπηγνύμενα, ⟦καὶ⟧ ὅτι παρὰ Βοιωτοῖς πολὺς τυρός. VEΓΘM

book 479b Βοιωτῶν] κοινή. Lh

book 479c συντυρούμενα] συμπηγνύμενα. Lh

book 480a πῶς οὖν ὁ τυρὸς ἐν Βοιωτοῖς ὤνιος: ἔπαιξε πρὸς τὸ “συντυρούμενα”, πρὸς τὴν μεταφοράν. τὸ δὲ ὅλον πρὸς τοὺς ῥήτορας ὡς τὸ πλῆθος καταπλησσομένους ταῖς αὐτῶν ἀκυρολογίαις. VEΓΘM

book 480b totus versus] ἔπαιξε πρὸς τὸ “συντυρούμενα”. Lh

book 480c Βοιωτοῖς] κοινή. Lh

book 481a παραστορῶ: ἐκτενῶ. ἅμα δὲ καὶ ἀπὸ τῶν βυρσῶν. ἀκολούθως δὲ τοῦ Ἡρακλέους ἐμνήσθη, ἐπειδὴ Θηβαίων ἴδιος ὁ θεὸς οὗτος εἶναι λέγεται, τῆς δὲ Βοιωτίας αἱ Θῆβαι πόλις. VEΓΘM

book 481b παραστορῶ] ἐκτενῶ ὡς βύρσαν. Lh

book 481c ἀκολούθως τοῦ Ἡρακλέους ἐμνήσθη, ἐπειδὴ Θηβαίων ἴδιος ὁ θεὸς οὗτος εἶναι λέγεται, τῆς δὲ Βοιωτίας αἱ Θῆβαι πόλις. Lh

book 482

ἄγε δὴ σὺ: τὸ μὲν Κλέωνος τῆς θυμέλης ὑπεξῆλθε πρόσωπον, τὴν βουλὴν δῆθεν κινῆσαι κατ’ αὐτῶν. οἱ δὲ περὶ τὸν Νικίαν τῷ ἀλλαντοπώλῃ παρακελεύονται γενναίως ἀντιστῆναι πρὸς αὐτόν. νῦν γάρ, φησίν, ἀντιστὰς πρὸς τὸν Κλέωνα, ἔργῳ δείξεις ἐάν σοι γενναῖον ἢ πανοῦργον ἐν τῷ πρώτῳ πέπρακται βίῳ. VΕΓΘMLh

book 484a εἰς τὰς κοχώνας: εἰς τοὺς γλουτούς. VΕΓΓ3Θ

book 484b εἰς τὰς κοχώνας] ὑπὸ τὸν πρωκτόν. Lh

book 484c ὡς αὐτὸς λέγεις] πρὸς τὰ παρ’ αὐτοῦ εἰρημένα. VΕΓ3

book 485a θεύσει γὰρ ᾄξας: δραμῇ ὁρμήσας, ἐπεισελθών. καὶ Ὅμηρος “ἔμελλον θεύσεσθαι”. VΕΓΘM

book 485b ᾄξας] παρελθὼν εἰς τὸ βουλευτήριον. VΕΓ3

book 485c θεύσει] ὁρμήσει. Lh

book 485d ᾄξας] ἀΐξας, εἰσελθών. Lh

book 487a κραγὸν: Ἀρίσταρχος ὀξυτόνως, ἀντὶ τοῦ κραυγαστικῶς. καὶ Ἡρωδιανὸς ἐν Ἀττικῇ προσῳδίᾳ. VΕΓΘLh

book 487b κραγὸν] κραυγαστικῶς. Lh

book 490a ἔχε νῦν ἄλειψον: στέαρ διδοῦσιν αὐτῷ ἀλείφεσθαι, ἵνα εὐχερῶς ὀλισθαίνειν δύνηται καὶ δύσληπτος ᾖ τῷ ἀνταγωνιστῇ. οὐκ ἀργῶς δὲ τὸ λίπος προσλαμβάνουσι, διὰ τὸ ἀλλαντοποιὸν αὐτὸν εἶναι. εἰώθασι γὰρ αὐτοὶ τὰ λίπη κατατέμνοντες βάλλειν εἰς τὸ φύραμα καὶ οὕτω πληροῦν τοὺς βοτούλους. VΕΓΘM

book 490b τουτῳΐ] τῷ λίπει. VΕΓ3

book 490c ὁ χορὸς στέαρ δίδωσιν αὐτῷ ἀλείψασθαι, ἵνα εὐχερῶς ὀλισθαίνῃ καὶ δύσληπτος ᾖ τῷ ἀνταγωνιστῇ. οὐκ ἀργῶς δὲ παρείληπται τὸ λίπος· εἰώθασι γὰρ οἱ μάγειροι τὰς κεφαλὰς ἑαυτῶν ἀλείφειν τῷ λίπει. Lh

book 490d νυν] δή· κοινή. Lh

book 490e τουτῳΐ] στέαρ διδόασιν αὐτῷ ἀλείψασθαι. Lh

book 491a τὰς διαβολάς: δέον εἰπεῖν τὰς λαβὰς ὡς ἐπὶ πάλης, “τὰς διαβολάς” εἶπεν, ἃς ἔμελλε διαβάλλειν ὁ Κλέων. VΕΓΘM

book 491b τὰς διαβολάς] τὰς λαβὰς ὤφειλεν εἰπεῖν. Lh

book 492 (I) παιδοτριβικῶς: ἐπειδὴ ἀνέτριψεν αὐτὸν τῷ λίπει, παιδοτρίβην καλεῖ. VΕΓΘMLh (II) ἄλλως: ἀντὶ τοῦ ἀλειπτικῶς· παιδοτρῖβαι γὰρ καλοῦνται οἱ ἀλεῖπται καὶ κηρωματισταί. VΕΓΘM

book 493a ἐπέγκαψον ταδί: ἐπίφαγε ταδί. καὶ τοῦτο παρεπιγραφή· σκόροδον γὰρ αὐτῷ προσφέρει, ὅ φησι δεῖν αὐτὸν ἐπιφαγεῖν. VΕΓΘM

book 493b νυν] δή. Lh

book 493c ἐπέγκαψον] ἐπίφαγε. Lh

book 493d ταδί] τὰ σκόροδα. Lh

book 494a [ ].οτεβ.υλοντα [ [ ] εκτρυονασπ [ [ ] σθαι σκοροδατ [ [ ] υκτηρσιν [ [ ].εισπιν [ [ ] υνκεα [ [ ] παρω [

book 494b (I) ἐσκοροδισμένος μάχῃ: μετήνεγκεν ἀπὸ τῶν ἀλεκτρυόνων. ὅταν γὰρ εἰς μάχην συμβάλλωσιν αὐτούς, σκόροδα διδόασιν αὐτοῖς, ἵνα δριμύτεροι ὦσιν ἐν τῇ μάχῃ. VΕΓΘM (II) ἄλλως: κατάφαγε σκόροδα, ἵνα ὀξύτερος γενόμενος ⟦καὶ σκορόδοις τραφεὶς⟧ γένῃ ὡς οἱ ἀλεκτρύονες. VΕΓΘ

book 494c ἄμεινον] κάλλιον. Lh

book 494d ἐσκοροδισμένος] σκόροδα φαγὼν διὰ τὴν δριμύτητα. Lh

book 495 νυν] δή. Lh

book 496a τοὺς λόφους κατεσθίειν: τοῦτο καὶ τὸ ἑξῆς μετήνεγκεν ἀπὸ τῶν ἀλεκτρυόνων. VEΓΘM

book 496b τοὺς λόφους κατεσθίειν] καὶ τοῦτο ὡς ἐπὶ ἀλεκτρυόνων. Lh

book 497a ἥξεις πάλιν: λεληθότως σκώπτει τὸν Κλέωνα δι᾽ ὧν ἐκείνῳ παρακελεύεσθαι δοκεῖ. μάλιστα γὰρ παρὰ τοῖς Ἀθηναίοις εὐδοκίμησεν ἐκεῖνος τοὺς ἄλλους διαβάλλων τῶν δημαγωγῶν, ὡς καὶ ἐν ἀρχῇ τοῦ ποιήματος λέγων περὶ αὐτοῦ ἔφησε "κάκιστα δῆθ᾽ οὗτός γε πρῶτος Παφλαγόνων αὐταῖσι διαβολαῖς". VEΓΘ

book 497b λεληθότως διαβάλλει τὸν Κλέωνα· μάλιστα γὰρ παρὰ τοῖς Ἀθηναίοις εὐδοκίμησεν ἐκεῖνος, τοὺς ἄλλους διαβάλλων δημαγωγούς. Lh

book 497c κάλλαια] τοὺς πώγωνας τῶν ἀλεκτρυόνων. VEΓ3Lh

book 497d χὤπως] σκόπει. Lh

book 498a (ad vv. 498—506) ἀλλ᾽ ἴθι χαίρων: κορωνίς. ἐξελθόντων γὰρ τῶν ὑποκριτῶν, εἶτα καταλειφθεὶς ὁ χορὸς λέγει περιόδους ἀναπαιστικὰς β′, τὴν μὲν προπεμπτικὴν τοῦ ἑτέρου τῶν ὑποκριτῶν, οὖσαν δεκάμετρον πεντάκωλον. ὑφ᾽ ὃ διπλῆ ⟦κατὰ τὴν δευτερεύουσαν⟧ ⟦κομμάτιον. ἄρχεται γὰρ τῆς καλουμένης τελείας παραβάσεωσ⟧ .... ἑπτάμετρον δέ ἐστι τὸ κομμάτιον τετράκωλον. VEΓΘ

book 498b (ad vv. 498—506) ἀλλ᾽ ἴθι χαίρων: τοῦτο διὰ τὸ μετὰ τὴν διπλῆν τίθεσθαι ἔοικεν εἶναι ἔκθεσις διπλῆς. διὸ καὶ τὸ παρατέλευτον ἔχει κῶλον, ὅπερ ἔθος ἐν τῇ ἐκθέσει τίθεσθαι. διὰ δὲ τὸ προτίθεσθαι τῆς παραβάσεως κομμάτιον χοροῦ ὀνομάζεται, ὡς εἴρηται. ἔθος γάρ ἐστι προτίθεσθαι τῆς παραβάσεως κομμάτιον. ἔστι γοῦν ἐκ κώλων ἀναπαιστικῶν θ′, ὧν τὰ μὲν ζ′ δίμετρα ἀκατάληκτα, τὸ ὄγδοον μονόμετρον ἤτοι ἀναπαιστικὴ βάσις, ὃ καὶ παρατέλευτον ὀνομάζεται· τὸ δὲ ἔνατον, τὸ "πειραθέντων καθ᾽ ἑαυτούς", δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, ὃ καλεῖται παροιμιακόν. ἐπὶ τῷ τέλει παράγραφος. Lh

book 498c ἀλλ᾽ ἴθι χαίρων] κομμάτιον χοροῦ. Γ3

book 498d ἀλλ᾽ ἴθι χαίρων] χορός· κομμάτιον κώλων θ′. Lh

book 498e ἀλλ᾽ ἴθι χαίρων] παρὰ τὰ Σοφοκλέους ἐξ Οἰκλέους. VEΓ3Lh

book 500a ἀγοραῖος: ὡς Ζεὺς ξένιος ἢ μειλίχιος ἢ φίλιος, οὕτω καὶ ἀγοραῖος· οἰκείως δὲ νῦν διὰ τὸν ἀλλαντοπώλην ἀγοραῖον εἶπεν. VEΓΘMLh

book 500b ἀγοραῖος] ὁ ἐν ἀγορᾷ ἱστάμενος. Lh

book 502a κατάπαστος] κατάμεστος, πλήρης, πεποικιλμένος. VEΓ3

book 502b κατάπαστος] περιεστεμμένος. Lh

book 503 ὑμεῖς δ᾽ ἡμῖν: ἐντεῦθεν παράβασις γίνεται, καὶ ἔστι τοῦτο τὸ καλούμενον κομμάτιον. μεθ᾽ ὃ οἱ ἀνάπαιστοι, ἔπειτα τὸ μακρόν, μετὰ ταῦτα δὲ ἡ στροφή, ἔπειτα τὸ ἐπίρρημα, ἑξῆς δὲ ἡ ἀντίστροφος, καὶ ἐπὶ πᾶσι τὸ ἀντεπίρρημα. VEΓΘM

book 505a ὦ παντοίας ἤδη μούσης: μεμουσωμένοι ἀκροαταὶ καὶ διὰ πάσης παιδεύσεως καὶ μέτρου ἀκροασάμενοι. ὁ μέντοι ποιητὴς τοῦτο πρῶτον τὸ δρᾶμα δι᾽ αὑτοῦ καθῆκε, τὰ δ᾽ ἄλλα δι᾽ ἑτέρων προσώπων. VEΓΘM

book 505b παντοίας] ποικίλης καὶ παντοδαπῆς. VEΓ3Lh

book 505c ὦ παντοίας ἤδη μούσης] παρατέλευτον τοῦτο. Lh

book 505d μούσης] παιδεύσεως. Lh

book 507a (ad vv. 507—46) εἰ μέν τις ἀνήρ: ⟦ἀναπαιστική⟧ διπλῆ καὶ ἔκθεσις εἰς αὐτὴν τὴν παράβασιν. στίχοι ἀναπαιστικοὶ καταληκτικοὶ τετράμετροι μα′. VEΓ3M

book 507b (ad vv. 507—50) εἰ μέν τις ἀνὴρ τῶν ἀρχαίων: ἡ παροῦσα παράβασις, ἣ καὶ μακρὸν καὶ πνῖγος 〈καὶ〉 ἀνάπαιστος ὡς εἴρηται λέγεται, ἐκ στίχων ἐστὶν ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν μ′, ὧν τελευταῖος “αἴρεσθ’ αὐτῷ πολὺ τὸ ῥόθιον, παραπέμψατ’ ἐφ’ ἕνδεκα κώπαις”. καλεῖται δὲ τοῦτο τὸ μέτρον ἐξόχως Ἀριστοφάνειον, ὡς εἴρηται ἐν τῷ Πλούτῳ δράματι. ἐν ἐκθέσει δὲ κῶλα ἀναπαιστικὰ δ′, ὧν τὰ μὲν δύο δίμετρα ἀκατάληκτα, τὸ τρίτον μονόμετρον, ὃ καὶ παρατέλευτον ὀνομάζεται, ὃ σύνηθες τίθεσθαι ἐν ταῖς ἐκθέσεσι, τὸ δὲ τέταρτον τὸ “φαιδρὸς λάμποντι μετώπῳ” δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, ὃ καλεῖται παροιμιακόν. ἐπὶ τῷ τέλει παράγραφος. Lh

book 507c εἰ μέν τις ἀνὴρ τῶν ἀρχαίων: εἰ μέν τις ἀνὴρ τῶν πρεσβυτέρων. M

book 507d παράβασις. ὁ λόγος ἐκ τοῦ χοροῦ παρὰ τοῦ ποιητοῦ Ἀριστοφάνους τὸν λόγον ποιουμένου. VEΓΘM

book 507e ἀρχαίων] πρεσβυτέρων. Γ3

book 507f ὅτι ὁ ποιητὴς τοῦτο πρῶτον τὸ δρᾶμα δι’ ἑαυτοῦ καθῆκε, τὰ δ’ ἄλλα δι’ ἑτέρων προσώπων. ὑποκριταὶ γὰρ αὐτοῦ Καλλίστρατος καὶ Φιλωνίδης ἦν, δι’ ὧν ἐδίδασκε τὰ δράματα αὐτοῦ, διὰ μὲν Φιλωνίδου τὰ δημοτικά, διὰ δὲ Καλλιστράτου τὰ ἰδιωτικά. Lh

book 507g ἡμᾶς] ἤγουν ὁ κωμικὸς ποιητής. Lh

book 508a ἔπη λέξοντας: ὅτι καὶ τὰ ἄλλα μέτρα ἔπη ἔλεγον. VEΓ3MLh

book 508b παραβῆναι: τῇ παραβάσει χρήσασθαι. λέγεται δὲ παράβασις ἤτοι ἐπειδὴ ἀπήρτηται τῆς ἄλλης ὑποθέσεως, ἢ ἐπειδὴ παραβαίνει ὁ χορὸς τὸν τόπον. ἑστᾶσι μὲν γὰρ κατὰ στοῖχον οἱ χορευταὶ πρὸς τὴν ὀρχήστραν ἀποβλέποντες. ὅταν δὲ παραβῶσιν, ἐφεξῆς ἑστῶτες καὶ πρὸς τοὺς θεατὰς βλέποντες τὸν λόγον ποιοῦνται. VEΓΘM

book 508c παραβῆναι] παραβάσει χρήσασθαι. Lh

book 509a οὐκ ἂν φαύλως: οὐκ ἂν εὐχερῶς, οὐδὲ ἄνευ καμάτου καὶ πόνου. VEΓ3M

book 509b ἄξιός ἐσθ’ ὁ ποιητής: λέγει ὅτι σπουδῆς ἄξιός ἐστιν ὁ ποιητὴς καὶ τῆς παρὰ τῶν θεωμένων εὐνοίας, ὅτι τὴν πρὸς Κλέωνα ἔχθραν ἐπανείλετο. VEΓ3M

book 509c οὐκ ἂν φαύλως ἔτυχε τούτου: ὡς ἔτυχεν. M

book 509d φαύλως] εὐχερῶς καὶ ἄνευ πόνου. Lh

book 509e ἄξιός] σπουδῆς ἐστιν ἄξιος ὁ ποιητὴς παρὰ τῶν θεωμένων. Lh

book 510 τοὺς αὐτοὺς ἡμῖν μισεῖ] τοὺς αὐτοὺς ἐχθροὺς ἡγεῖται οὓς ἡμεῖς οἱ Ἀθηναῖοι. VEΓ3MLh

book 511a καὶ γενναίως πρὸς τὸν Τυφῶ χωρεῖ: ὁ Τυφὼς Γῆς μέν ἐστιν υἱός, ἴσχυσε δὲ τοσοῦτον, ὡς μὴ ἀνθρώποις μόνον δοκεῖν φοβερὸς εἶναι, ἀλλὰ καὶ τοῖς θεοῖς. καὶ εἰς ἀλόγων ζῴων ἰδέας μετέβαλλον τὰς μορφὰς διὰ τὸν ἐκείνου φόβον. VEΓΘMLh

book 511b τὴν ἐριώλην: τυφὼς ἀνέμου συστροφὴ ἢ πυρός· τὸν Κλέωνα δὲ λέγει. ἐριώλη δὲ ἀναθυμιάσεως συστροφή, πρὶν ἐμπυρωθῆναι τὸν ἀέρα. καὶ ἡ μεγάλη δὲ πνοὴ οὕτως. ἔμπαλιν δὲ εἰπὼν ηὔξησεν 〈ἂν〉 μᾶλλον καὶ δεξιώτερον εἶπεν. ἡ γὰρ ἐριώλη πνοὴ σφοδρά, ἀλλ’ ὅ γε τυφὼς μεῖζόν τι πνεῦμα καὶ κακοποιόν. ἔδει οὖν πρῶτον εἰπεῖν ἐριώλην, εἶτα τυφώ, καὶ εἶχεν ἂν μείζω τὴν ἔμφασιν. VEΓΘMLh

book 511c Τυφὼ] ἤγουν τὸν Κλέωνα, διὰ τὸ φοβερὸν αὐτοῦ. Lh

book 511d ἐριώλην] τὴν τῆς ἀναθυμιάσεως συστροφήν. Lh

book 515 διατρίβειν] τὸ ὑπερτίθεσθαι καὶ μέλλειν αὐτούς. VEΓ3MLh

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 517a πολλῶν γὰρ δὴ πειρασάντων: ἀπὸ τοῦ πειρᾶν ἐσχημάτισε· πειρᾶν δὲ τὸ προσβαλεῖν γυναικὶ περὶ ἀφροδίτης. τροπῇ οὖν κέχρηται ὡς ἐπὶ γυναικός. σημαίνει οὖν σπανίως ἐπιτυχεῖν τινας καὶ ὀλίγους κατορθῶσαι παντάπασιν. VEΓΘMLh

book 517b πειρασάντων] μετελθόντων, ἐπιτηδευσάντων. VEΓ3

book 517c ὀλίγοις χαρίσασθαι] ὀλίγους κατορθῶσαι. EΓ3

book 517d πειρασάντων] μετελθόντων· ἐσχημάτισε δὲ τοῦτο ἀπὸ τοῦ πειρᾶν ὥσπερ γυναῖκά τινα. Lh

book 517e χαρίσασθαι] ἤγουν κατορθῶσαι αὐτούς. Lh

book 518a ὑμᾶς τε πάλαι διαγιγνώσκων ἐπετείους τὴν φύσιν ὄντας: ἀντὶ τοῦ ἐκ πολλοῦ καταγιγνώσκων τὸν ὑμέτερον τρόπον. ἀπὸ τῶν οἰωνῶν δὲ μετήνεγκε τῶν μὴ μονίμων ὄντων, ἀλλὰ φερομένων τῇ πτήσει· τουτέστιν εὐμεταβλήτους, ὀλιγώρους, μὴ διαμένοντας ἐν τοῖς αὐτοῖς ἀεί, ἀψικόρους. VEΓΘM

book 518b totus versus] ἀντὶ τοῦ ἐκ πολλῶν ἐτῶν καταγιγνώσκων τὸν ὑμέτερον τρόπον εὐμετάβλητον ὄντα. Lh

book 519a καὶ τοὺς προτέρους τῶν ποιητῶν: οἷον τοῖς νέοις χαίροντας ἀεὶ τῶν ποιητῶν ⟦τουτέστι τοῖς ἀρχαίοισ⟧ καὶ εἰς τὴν θυμέλην παριοῦσι πρῶτον. VEΓ3

book 519b οἷον τοῖς νέοις χαίροντας ἀεὶ τῶν ποιητῶν, τοὺς προτέρους δὲ ἐῶντας, τουτέστι τοὺς ἀρχαίους καὶ τοὺς πρώτους. M

book 519c ἅμα τῷ γήρᾳ προδιδόντας] ἐπὶ γήραος οὐδῷ καταλείποντας. EΓ3

book 519d προδιδόντας] τοὺς ἀρχαίους καὶ εἰς τὴν θυμέλην πρῶτον παριόντας καταλείποντας, τοῖς δὲ νέοις χαίροντας. Lh

book 520 Μάγνης] οὗτος ἀρχαίας κωμῳδίας ποιητής. VEΓ3Lh

book 521a τῶν ἀντιπάλων: κατὰ τῶν ἀνταγωνιστῶν. φησὶ δὲ ὅτι εὐδοκιμῶν ὁ Μάγνης πολλὰς νίκας ἀπηνέγκατο κατὰ τῶν δι᾽ ἐναντίας. VEΓ3MLh

book 521b ἀντιπάλων] ἀντιτέχνων. EΓ3

book 522a ψάλλων: ⟦τοὺς Βαρβιτίδας τάσσουσιν οἱ λόγοι·⟧ 〈τοὺς Βαρβιτιστὰς ἂν λέγοι·〉 δρᾶμα δέ ἐστι τοῦ Μάγνητος. ἡ δὲ βάρβιτος εἶδος ὀργάνου μουσικοῦ. “πτερυγίζων” δὲ ὅτι καὶ Ὄρνιθας ἐποίησε δρᾶμα· ἔγραψε δὲ καὶ Λύδους καὶ Ψῆνας καὶ Βατράχους. ἔστι δὲ χρώματος εἶδος τὸ βατράχειον· ἀπὸ τούτου καὶ βατραχὶς ἱμάτιον. ἐχρίοντο δὲ τῷ βατραχείῳ τὰ πρόσωπα, πρὶν ἐπινοηθῆναι τὰ προσωπεῖα. τὸ “ψηνίζων” δὲ εἶπεν ὡς πρὸς τοὺς Ψῆνας ἀναφέρων. VEΓΘMLh

book 522b πάσας δ᾽ ὑμῖν φωνὰς ἱείς: ἀντὶ τοῦ ἀφιείς, παρεχόμενος. EΓ3MLh

book 523 totus versus] καὶ Λυδοὺς δρᾶμα καὶ Ψῆνας καὶ Βατράχους. Lh

book 524a οὐκ ἐξήρκεσεν] ἀντὶ τοῦ οὐδὲν ὠφέλησεν. VEΓ3Lh

book 524b ἐπὶ γήρως] ἡνίκα ἐγήρασεν. EΓ3

book 524c οὐ γὰρ ἐφ᾽ ἥβης] οὐ νεάζων οὐδὲ ἀκμάζων. EΓ3Lh

book 526a (I) ὃς πολλῷ ῥεύσας τότ᾽ ἐπαίνῳ: οἱ γὰρ λάβρως ῥέοντες ποταμοὶ καὶ αὐτῆς τῆς γῆς παρασύρουσι μέρος, δι᾽ ἧς ἂν ῥέωσιν. VEΓΘLh (II) ἄλλως: τουτέστιν εὐδοκιμήσας πολλάκις. καὶ Δημοσθένης ἐν Φιλιππικοῖς “τότε τοίνυν Πυθῶνος πολλοῦ ῥέοντος καθ᾽ ὑμῶν”. δοκεῖ δέ μοι Ἀριστοφάνης ἀφ᾽ ὧν εἶπε Κρατῖνος περὶ αὐτοῦ μεγαληγορῶν, ἀπὸ τούτων καὶ αὐτὸς τὴν τροπὴν εἰληφέναι· ὁ γὰρ Κρατῖνος οὕτω πως ἑαυτὸν ἐπήνεσεν ἐν τῇ Πυτίνῃ· “ἄναξ Ἄπολλον, τῶν ἐπῶν τῶν ῥευμάτων· καναχοῦσι πηγαί· δωδεκάκρουνον στόμα·

book 526a

Ἰλισσὸς ἐν τῇ φάρυγγι. τί ἂν εἴποιμι; εἰ μὴ γὰρ ἐπιβύσει τις αὐτοῦ τὸ στόμα, ἅπαντα ταῦτα κατακλύσει ποιήμασιν". ἤτοι οὖν τούτων χάριν καὶ Ἀριστοφάνης περὶ τοῦ Κρατίνου ταῦτα λέγει, ἢ τὸ "ῥεύσας" εἶπε σκώπτων πρὸς τὸ ἐνουρεῖν τὸν Κρατῖνον. VEΓ3ΘLh

book 526b ὃς πολλῷ ῥεύσας: οἱ γὰρ ποταμοὶ οἱ λάβρως ῥέοντες καὶ αὐτῆς τῆς γῆς παρασύρουσι μέρος, δι' ἧς ῥέουσι. "ῥεύσας" δὲ ἀντὶ τοῦ εὐδοκιμήσας ⟦ἢ ῥητορεύσασ⟧ εἶπε πρὸς τὸ ἐνουρεῖν τὸν Κρατῖνον. M

book 526c ῥεύσας] ἤγουν εὐδοκιμήσας. Lh

book 527a [ ] αφ [ [ ] [ ] αχουν [ ] νωι [ ] ι.θε [ ] υσεκ [ ] ναον [ ] υσεο

book 527b (I) διὰ τῶν ἀφελῶν πεδίων ἔρρει: ἁπλῶν, ἀντὶ τοῦ δι' ἁπλῆς φράσεως. ⟦ἔνιοι δὲ διὰ τῶν ἀφύων γράφουσι.⟧ πρὸς πάντα δὲ καὶ αὐτὸς ἐσπούδασεν ἀντιθεῖναι τὰ ὑπὸ τοῦ Κρατίνου εἰρημένα· ἐπεὶ κἀκεῖνος ποταμῷ παρέβαλεν ἑαυτὸν ἀθρόως ῥέοντι, ἠχεῖν τε φήσας τὰς πηγάς, ὅπερ λάβρως ῥέοντος ὕδατός ἐστιν ἔργον ⟦ἦχον ἀποτελεῖν καὶ ψόφον καὶ τὰ λοιπά,⟧ ὡς εἴπομεν. διὰ τοῦτο καὶ Ἀριστοφάνης ὡς ἐπὶ ποταμοῦ ἐχρήσατο τῇ τροπῇ.

book 527b VEΓΘM (II) ἄλλως: τὸ ἐπὶ τῆς φράσεως ἄκομψον καὶ ἁπλοῦν τοῦ Κρατίνου ἀλληγορεῖσθαί φασι τὸ ἀφελές. κεῖται δὲ νῦν ἀντὶ τοῦ ὑγιὲς καὶ ὁλόκληρον, ἢ τὸ μέγα καὶ ἀνεπικώλυτον. στάσεις δὲ τὰ ἀναχώσματα τῶν ποταμῶν. VEΓ3ΘM

book 527c καὶ τῆς στάσεως παρασύρων: ὡς διὰ τὸ γῆρας καὶ τὴν πολυποσίαν σκάζοντος καὶ τρέμοντος τοῦ Κρατίνου τὴν βάσιν. VEΓ3ΘM

book 527d ἀφελῶν] ἁπλῶν. EΓ3

book 527e τῆς στάσεως] ἀντὶ τοῦ τοὺς στασιάζοντας. EΓ3Lh

book 527f παρασύρων] παραπείρων καὶ ἀφανίζων. EΓ3Lh

book 527g ἀφελῶν] τῶν ἁπλῶν, ἤγουν τῆς ἁπλῆς φράσεως. Lh

book 528a προθελύμνους: προρρίζους· εἰώθασι γὰρ οἱ ποταμοὶ τὰ ἐπὶ ταῖς ὄχθαις ὄντα δένδρα, ἐπειδὰν καταναλώσωσι παρασύροντες καὶ παρατέμνοντες τὴν γῆν, τὰς ῥίζας τέμνειν· ὡς τοῦ Κρατίνου παμψηφεὶ νικῶντος τοὺς ἀνταγωνιστάς. VEΓ3ΘM

book 528b τοὺς ἐχθροὺς] τοὺς περὶ Καλλίαν. VEG3MLh

book 528c ἐφόρει] ἤγουν κατέβαλλε τοὺς ἀνταγωνιζομένους πρὸς αὐτὸν ὑψηλοὺς ὄντας. Lh

book 528d προθελύμνους] προρρίζους. Lh

book 529a ᾆσαι δ' οὐκ ἦν ἐν συμποσίῳ πλὴν Δωροῖ συκοπέδιλε: πάλιν ὡς μέθυσον αὐτὸν διαβάλλει ⟦τὸν Κρατῖνον⟧. οὐκ ἦν γὰρ ἑτέραν, φησίν, ἐν τοῖς συμποσίοις ᾠδὴν ποιήσασθαί τινα, προκαταλαμβάνοντος αὐτὰ τοῦ Κρατίνου. VEΓ3ΘM

book 529b Δωροῖ συκοπέδιλε: Κρατίνου μέλους ἀρχή. σκώπτων δὲ τινὰ ἐκεῖνος δωροδόκον καὶ συκοφάντην τοῦτο εἶπεν. VEΘM

book 529c συκοπέδιλε] ὡς συκοφάντην τοῦτο εἶπεν. EΓ3Lh

book 529d πλὴν] ἕτερον δηλονότι τινὰ προλαμβάνοντος αὐτοῦ τοῦ Κρατίνου. καθάπτεται δὲ ὡς μέθυσος. Lh

book 530a τέκτονες εὐπαλάμων: τέκτονες πάντες οἱ τεχνῖται. καὶ τοῦτο δὲ ἐκ τῶν Εὐνειδῶν Κρατίνου. εὐπαλάμων δὲ εὖ διακεχειρισμένων ἢ συντεταγμένων. VEΓ3ΘM

book 530b ἤνθησεν] εἰς εὐδοξίαν. EΓ3

book 530c τέκτονες εὐπαλάμων] τοῦτο ἐξ Εὐμενίδων Κρατίνου. Lh

book 530d εὐπαλάμων] εὖ διακεχειρισμένων, συντεταγμένων. Lh

book 531a παραληροῦντα: διαποροῦντα καὶ ἀσχημονοῦντα. ταῦτα ἀκούσας ὁ Κρατῖνος ἔγραψε τὴν Πυτίνην, δεικνὺς ὅτι οὐκ ἐλήρησεν· ἐν ᾗ κακῶς λέγει τὸν Ἀριστοφάνην ὡς τὰ Εὐπολίδος λέγοντα. VEΓΘM

book 531b παραληροῦντα] ἀποροῦντα καὶ ἀσχημονοῦντα. Lh

book 532a ἐκπιπτουσῶν τῶν ἠλέκτρων: ἰδίως τὰ ταῖς κλίναις ἐπιβαλλόμενα 〈ἐλεφάντινα〉 οὕτως ἐκάλουν ἤλεκτρα. μεταφορᾷ οὖν κέχρηται ἀπὸ τῶν κλινῶν. αἱ γὰρ ἀρχαῖαι κλῖναι τοὺς πόδας εἶχον ὠφθαλμισμένους ἄνθραξι καὶ ἠλέκτροις. διόπερ βαρυτόνως ἀναγνωστέον, ἀπὸ τοῦ αἱ ἤλεκτροι τῶν ἠλέκτρων. VEΓ3ΘM

book 532b καὶ τοῦ τόνου οὐκέτ’ ἐνόντος: ἀκολούθως μετὰ τὴν κλίνην ἐμνημόνευσε τοῦ τόνου. τόνος γὰρ τὰ τῶν κραββάτων σχοινία. τροπικῶς δὲ δηλοῖ τὴν τῆς φωνῆς τάσιν. VEΓ3M

book 532c ἤλεκτροι τὰ ξυλάρια ἐν οἷς τοὺς τῶν κλινῶν ἀσφαλίζουσι πόδας, ὅταν ἐξ ἀκινήσεως ἀσθενήσωσι τῷ χρόνῳ. Lh

book 533a τῶν θ’ ἁρμονιῶν: ἁρμονίας λέγομεν τὰ συμπησσόμενα τῶν κραββάτων μέρη. ἐπέμεινε δὲ τῇ τροπῇ· καὶ γὰρ ἁρμονίαν λέγομεν τὴν τῶν ποιημάτων σύνθεσιν. VEΓ3M

book 533b διαχασκουσῶν] κεχηνυιῶν, διεσκορπισμένων, καὶ μὴ ἐχουσῶν εὐέπειαν. VEΓ3Lh

book 533c ἁρμονιῶν] ὡς ἐπὶ μουσικῆς. Lh

book 533d περιέρρει] κατημέληται. Lh

book 534a ὥσπερ Κοννᾶς: ὁ Κοννᾶς αὐλητὴς ἦν καὶ μέθυσος, ὃς εἰς συμπόσια παρῄει συνεχῶς ἐστεμμένος. οὗτος Ὀλυμπιονίκης γενόμενος καὶ πολλάκις στεφανωθεὶς πενιχρὸς ἦν μηδὲν ἔχων ἀλλ’ ἢ τὸν κότινον. ἐφ’ οὗ Κρατῖνος εἶπεν “ἔσθιε καὶ σῇ γαστρὶ δίδου χάριν, ὄφρα σε λιμὸς ἐχθαίρῃ, Κοννᾶς δὲ πολυστέφανός σε φιλήσῃ”. λέγει δὲ αὐτὸν τοσαῦτα νικήσαντα μηδέποτε τετιμῆσθαι. ἡ δὲ παροιμία “στέφανον μὲν ἔχων, δίψῃ δ’ ἀπολωλώς.” καὶ πάλιν “Δελφὸς ἀνήρ, στέφανον μὲν ἔχων, δίψει δ’ ἀπολωλώς.” πρὸς τὸν Κρατῖνον δὲ καὶ τοῦτο, ὅτι μέθυσός ἐστιν. VEΓ3ΘMLh

book 534b Κοννᾶς] οὗτος αὐλητὴς ἦν μέθυσος παρερχόμενος εἰς συμπόσια συνεχῶς ἐστεμμένος. Lh

book 535a πίνειν ἐν τῷ πρυτανείῳ: ἔχεται καὶ τοῦτο τῆς ἐννοίας τῆς προκειμένης· σιτεῖσθαι γὰρ ἔλεγον ἐν τῷ πρυτανείῳ, οὐχὶ πίνειν. VEΓΘ

book 535b πίνειν] σιτεῖσθαι ὤφειλεν εἰπεῖν· ὁ δὲ “πίνειν” εἶπε διὰ τὸ εἶναι μέθυσον τὸν Κοννᾶν. Lh

book 536a καὶ μὴ ληρεῖν] καὶ ταῦτα πρὸς τὴν μέθην. EΓ3

book 536b παρὰ τῷ Διονύσῳ] ἀντὶ τοῦ ἐν τῷ θεάτρῳ. EΓ3Lh

book 536c θεᾶσθαι] ὁρᾶσθαι. Lh

book 537a (I) οἵας δὲ Κράτης ὀργάς: οὗτος κωμῳδίας ποιητής, ὃς πρῶτον ὑπεκρίνατο 〈τὰ〉 Κρατίνου, καὶ αὐτὸς ποιητὴς ὕστερον ἐγένετο, καὶ ἐξωνεῖτο τοὺς θεατὰς καὶ τὴν τούτων εὔνοιαν. VEΓΘM (II) ἄλλως: τραγικὸς ποιητής, ὀλιγόστιχα ποιήματα γράψας. VEΓΘM

book 537b στυφελισμούς] λοιδορίας, μέμψεις. VEΓ3MLh

book 537c ὁ Κράτης κωμῳδίας ἦν ποιητής, ὕστερον δὲ ἐγένετο. ἐξωνεῖτο δὲ τοὺς θεατὰς καὶ τὴν τούτων εὔνοιαν. πρότερον γὰρ ὑποκριτὴς ἦν Κρατίνου. οἱ δὲ τραγικὸν αὐτὸν ποιητὴν λέγουσιν, ὀλιγόστιχα ποιήματα γράψαντα. Lh

book 537d Κράτης] οὗτος κωμῳδίας ποιητής. Lh

book 538a ἀπὸ σμικρᾶς δαπάνης: σμικρὰ ἐποίει καὶ ἔτερπε τοὺς ἀκροατάς, γράφων ἡδέα. VEΓΘMLh

book 538b ἀριστίζων] τρέφων, ἄριστον κατασκευάζων. Lh

book 539a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(I) ἀπὸ κραμβοτάτου: ἡδυτάτου, ξηροτάτου. ἔπαιξε δὲ ἀπὸ τῆς τοῦ λαχάνου ἐπινοίας. αὐτοσχέδιος γὰρ ἦν περὶ τὰ δράματα. VEΓΘM (II) ἄλλως: ἀπὸ τοῦ χρηστοτάτου. ἔπαιξε δὲ τῷ κραμβοτάτῳ ἀπὸ τοῦ λαχάνου κράμβης οὕτω καλουμένης· παρὰ δὲ τοῖς Ἀττικοῖς κοράμβλη διὰ τὸ τὰς κόρας βλάπτειν. φασὶ γὰρ αὐτὴν ἐκ τῶν ὀφθαλμῶν τοῦ Λυκούργου 〈γεγονέναι〉· πιστοῦνται δὲ τὸν μῦθον τοῦτον γεωργῶν παῖδες. εἰ γάρ τις, φασί, τὴν ῥίζαν αὐτῆς ἐξάψαι ἐν ἀμπέλῳ, οὐκ ἂν αὕτη καρπὸν ἐνέγκοι. χαριέντως δὲ ὁ ποιητὴς ἀντὶ τοῦ χρηστοτάτου κραμβότατον ἔφησεν, ἵνα τὸ "ἀπὸ μικρᾶς δαπάνης" καὶ τὸ "ἀριστίζων" ἀκόλουθον τῷ ἑξῆς λέγειν δοκῇ. VEΓ3Θ

book 539b μάττων] σκεπτόμενος. EΓ3

book 539c χαριέντως ὁ ποιητὴς ἀντὶ χρηστοτάτου στόματος "κραμβοτάτου" ἔφησεν, ἵνα τὸ "ἀπὸ μικρᾶς δαπάνης" καὶ τὸ "ἀριστίζων" ἀκόλουθον τῷ ἑξῆς λέγειν δοκῇ. κράμβη δ' ἐστὶ λάχανον οὕτω καλούμενον, ἣν Ἀττικοὶ κοράμβλην λέγουσι διὰ τὸ τὰς κόρας βλάπτειν. φασὶ γὰρ αὐτὴν ἐκ τῶν τοῦ Λυκούργου γεγονέναι ὀφθαλμῶν. πιστοῦνται δὲ τὸν μῦθον τοῦτον γεωργῶν παῖδες. εἰ γάρ τις, φασί, τῇ ῥίζῃ αὐτοῦ ἐξάψειε τὴν ἄμπελον, οὐκ ἂν αὕτη καρπὸν ἐνέγκοι. Lh

book 539d κραμβοτάτου] ἡδυτάτου ἢ ξηροτάτου. Lh

book 539e μάττων] ἤγουν σκεπτόμενος, κατασκευάζων, ἐφευρίσκων. Lh

book 540a τοτὲ μὲν πίπτων, τοτὲ δ' οὐχί: οἷον ἀνὰ μέρος εὐδοκιμῶν, ἔσθ' ὅτε δὲ καὶ ἡττώμενος. τοῦτο δὲ εἶπεν ὡς οὐκ ἀεὶ εὐδοκιμοῦντος. VEΓΘM

book 540b ἀντήρκει] ἀντεῖχεν. EΓ3

book 540c τοτὲ μὲν πίπτων, τοτὲ δ' οὐχί] οἷον ποτὲ μὲν εὐδοκιμῶν καὶ νικῶν, ποτὲ 〈δὲ〉 ἡττώμενος. Lh

book 541 ὀρρωδῶν] δεδιώς, εὐλαβούμενος. EΓ3

book 542a (I) ἐρέτην χρῆναι: κωπηλάτην χρὴ πρῶτον γενέσθαι καὶ μὴ ἐπιχειρεῖν, φησί, κυβερνᾶν, εἰ μὴ ἐν πείρᾳ γένηται τοιαύτῃ. VEΓΘMLh (II) ἄλλως: μὴ πρὶν .... ἐθέλειν κυβερνᾶν. οὐ γὰρ οἷόν τε κυβερνᾶν, μὴ πρότερον ἐν πολλῇ πείρᾳ γενόμενον ἀποδημίας καὶ τῶν ναυτικῶν· καὶ τοὺς ἀνέμους προϊδεῖν τίνες μέλλουσι πνεῖν, καὶ προγνῶναι, εἶθ' οὕτω κυβερνᾶν. VEΓ3ΘLh

book 542b ἐντεῦθεν εἴρηται τῷ Θεολόγῳ τὸ "ἐπαινῶ τὸν νηίτην νόμον, ὃς τὴν κώπην πρότερον ἐγχειρήσας τῷ νῦν κυβερνήτῃ καὶ πιστεύσας τὰ ἔμπροσθεν αὖθις ἐπὶ τῶν οἰάκων καθίζει μετὰ τὴν πολλὴν τυφεῖσαν θάλασσαν καὶ τὴν τῶν ἀνέμων διάσκεψιν." ὅρα δὲ ὅπως αὐτὸ εὐφυῶς μετερρύθμισεν. Lh

book 542c ἐρέτην] κωπηλάτην. Lh

book 542d πρὶν πηδαλίοις ἐπιχειρεῖν] πρὶν ἐπὶ τῶν οἰάκων καθίσαι. Lh

book 543a ἐντεῦθεν] εἶτα, μετὰ ταῦτα. EΓ3

book 543b πρῳρατεῦσαι] ἐν πρώρᾳ καθίσαι. Lh

book 543c διαθρῆσαι] σκοπῆσαι ὁποῖος ἐπιτήδειος εἰς τὸ πλεῦσαι καὶ τὸν ἐναντίον. Lh

book 544 κυβερνᾶν αὐτὸν ἑαυτῷ] ἤγουν γενέσθαι κυβερνήτην ἑαυτοῦ· ὁ γὰρ μὴ ἑαυτοῦ γενόμενος κυβερνήτης πῶς ἂν ἑτέρου γενέσθαι δυνηθείη; Lh

book 545a ὅτι σωφρονικῶς: μετὰ λογισμοῦ καὶ σκέψεως καὶ οὐκ ἀνοήτως οὐδὲ ἐκ τοῦ προχείρου. VEΓ3MLh

book 545b ἐφλυάρει] ἄσεμνά τινα ἔλεγεν. Lh

book 546a [ ]ρουεπαινονπολυν [ ]νερεττοντωνυπερες [ ]οριτοντουτωνπολυ..

book 546b

αἵρεσθ’ αὐτῷ πολὺ τὸ ῥόθιον: ῥόθιον τὸ κῦμα ἀπὸ τοῦ θοῶς ἤγουν τάχεως ῥεῖν. ἀπὸ τῶν ἐρεσσόντων μετήνεγκεν· ὅταν γὰρ συνεχῶς ὑπὸ πολλῶν ἐρετῶν ἐπὶ πλέον προέρχηται ἡ ναῦς εἰς τὸ πρόσθεν .... ἀξιοῖ οὖν τὸν νῦν ἔπαινον .... καὶ μέχρι πολλοῦ αὐτὸν παραπέμψαι. VEΓΘM

book 546c (I) ἐφ’ ἕνδεκα κώπαις: κέλευσμα ναυτικόν· λέγεται ἐφ’ ἕνδεκα κωπηλασίαις ἐκτεινομένη. ἐπέμεινε δὲ τῇ τροπῇ. VEΓ3ΘM (II) ἄλλως: ἐπαράτην παραδέχεσθαι ἐφ’ ἕνδεκα κώπαις ἑξῆς ἀπὸ τῶν ναυτικῶν· τουτέστιν ἀπὸ τοῦ κυβερνᾶν καὶ τοῦ ῥόθου τὸ “ἐφ’ ἕνδεκα κώπαις” ἐπήγαγεν. ἢ ἐπειδὴ οἱ Ἀθηναῖοι τῶν ναυτικῶν ἐπιστήμονες ἦσαν. VEΓ3Θ

book 546d ἢ ὅτι οἱ Ἀθηναῖοι τῶν ναυτικῶν ἐπιστήμονες ἦσαν. M

book 546e ἀπὸ τῶν ἐρεσσόντων καὶ κωπηλατούντων μετήνεγκε τὸ “ῥόθιον”. ἔστι δὲ τὸ κῦμα τὸ τάχεως ῥέον, ὅταν συνεχῶς ὑπὸ πολλῶν ἐρετμῶν ἐπὶ πλέον προέρχεται ἡ ναῦς εἰς τὸ ἔμπροσθεν. Lh

book 546f ἀπὸ τοῦ κυβερνᾶν καὶ τοῦ ῥοθίου τὸ “ἐφ’ ἕνδεκα κώπαις” συνήγαγεν, ἐπιμένων τῇ τροπῇ· ἢ ἐπειδὴ Ἀθηναῖοι τῶν ναυτικῶν ἐπιστήμονες ἦσαν. Lh

book 546g αἴρεσθ’ αὐτῷ πολὺ τὸ ῥόθιον] ἤγουν ἔπαινον αὐτῷ μέχρι πολλοῦ παραπέμψατε· ἐπέμεινε δὲ τῇ τροπῇ. Lh

book 547a ισδεδιδαχθαι το δραμα

book 547b (ad vv. 547—50) διπλῆ καὶ εἴσθεσις εἰς τὸ καλούμενον μακρόν. ἔστι δὲ ἴσον τῷ κομματίῳ. E

book 547c ληναΐτην: ἑορτὴ παρὰ τοῖς Ἀθηναίοις τὰ Λήναια, ἐν ᾗ μέχρι νῦν ἀγωνίζονται ποιηταὶ συγγράφοντές τινα ᾄσματα τοῦ γελασθῆναι χάριν. ὅπερ ὁ Δημοσθένης εἶπεν ἐξ ἁμάξης· ἐπὶ ἁμαξῶν γὰρ οἱ ᾄδοντες καθήμενοι λέγουσί τε καὶ ᾄδουσι τὰ ποιήματα. VEΓΘMLh

book 547d ληναΐτην] ἑορτὴ παρὰ τοῖς Ἀθηναίοις τὰ Λήναια. Lh

book 548 ἀπίῃ] ἀπέλθῃ. Lh

book 549a κατὰ νοῦν] κατὰ γνώμην. EΓ3

book 549b κατὰ νοῦν] κατὰ γνώμην, ἤγουν ὅπερ ἐβούλετο. Lh

book 550a στοφανησαπεσκω

book 550b φαιδρὸς λάμποντι μετώπῳ: ἱλαρὸς ⟦φαιδρὸσ⟧ τὸ μέτωπον. ἢ διὰ τὸ φαλακρὸν εἶναι τὸν Ἀριστοφάνην. EΓΘM

book 550c λάμποντι μετώπῳ] ἱλαρῷ καὶ χαριέντι προσώπῳ, ἢ διὰ τὸ εἶναι φαλακρὸν τὸν ποιητήν. Lh

book 551a ειδωναεπικαλειται ωνσυνε

book 551b (ad vv. 551—64) διπλῆ· εἶτα ἐπάγεται ἐπιρρηματικὴ συζυγία, ἧς αἱ μὲν μελικαὶ περίοδοί εἰσι ιδʹ κώλων· τὸ πρῶτον χοριαμβικὸν ἰαμβικὴν ἔχον ἐπιμεμιγμένην ἀκατάληκτον· καὶ τὸ δεύτερον ὅμοιον ἀκατάληκτον· καὶ τὸ τρίτον καὶ τὸ τέταρτον ὅμοιον· καὶ τὸ πέμπτον χοριαμβικὸν καταληκτικόν· καὶ τὸ ἕκτον 〈ἀκατάληκτον〉 · καὶ τὸ ἕβδομον ὅμοιον· καὶ τὸ ὀγδόον καταληκτικόν· τὸ δὲ ἔνατον καὶ τὸ δέκατον ἀντισπαστικὰ τρίμετρα καταληκτικά, τὰ δὲ λοιπὰ τέτταρα ἀντισπαστικὰ δίμετρα, τρία μὲν γλυκωνεῖα, τὸ τελευταῖον δὲ φερεκράτειον. VEΓ3Θ

book 551c ἵππι’ ἄναξ Ποσεῖδον: οὐκ ἀργῶς τῷ Ποσειδῶνι νῦν τὸ ἐπίθετον ἔθηκε τοῦτο, ἐπεὶ καὶ αὐτὸς ὁ χορὸς συνέστηκεν ἐξ ἱππέων. ἀποσεμνύνειν οὖν βουλόμενος τὸ ἐπιτήδευμα τὸ αὑτοῦ, οὕτω τὸν Ποσειδῶνα προσεῖπε, τουτέστιν ἱππικέ. VEΓ3ΘM

book 551d οὐκ ἀργῶς τῷ Ποσειδῶνι νῦν τὸ ἐπίθετον ἔθηκε τοῦτο, ἀλλ’ ἀποσεμνύνειν βουλόμενος τὸ αὑτοῦ ἐπιτήδευμα, ἐπεὶ καὶ αὐτὸς ὁ χορὸς ἐξ ἱππέων συνέστηκεν. Lh

book 551e ἵππι’] ἱππικέ· ἐν ἵππῳ γὰρ αὐτὸν ἱστοροῦσιν ἐπιβαίνοντα. Lh

book 552a [ ]σαι [ ] [ ]θη [ ]ον [ ]δων [ ]τας [ ]υρας εχοντων

book 552b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χαλκοκρότων: χαλκοπόδων, τουτέστι τὰς ὁπλὰς ἰσχυρὰς ἐχόντων. συμβαίνει γὰρ ἠχεῖν τὴν γῆν καὶ κτυπεῖν ἐπικρουομένην τοῖς ποσὶ τῶν ἵππων. VΕΓΘΜ

book 552c χαλκοκρότων] διὰ τὸ ἐν τοῖς ποσὶ φέρειν τοὺς ἵππους σίδηρον, καὶ κτύπον ποιεῖν τύπτοντας τὴν γῆν. Lh

book 553a ἁνδάνει] μέλει. ΕΓ3

book 553b ἁνδάνει] μέλει, ἀρέσκει. Lh

book 554a κυανέμβολοι: ἤτοι αἱ τοὺς ἐμβόλους ἔχουσαι κυανῷ βεβαμμένους, ὡς μιλτοπάρῃοι, αἱ μεμιλτωμέναι· ἢ αἱ τέμνουσαι τὴν θάλασσαν· κυανὸν γὰρ τὸ ταύτης ὕδωρ. VΕΓΘΜ

book 554b θοαί] ταχεῖαι. Γ3Lh

book 554c κυανέμβολοι] μέλαιναι. Lh

book 555a μισθοφόροι τριήρεις: αἱ ἐπὶ μισθῷ τοὺς στρατευομένους ἄγουσαι. VΕΓΘΜLh

book 555b τριήρεις] ἤγουν πλοῖα. Lh

book 556 λαμπρυνομένων ἐν ἅρμασιν: ἀντὶ τοῦ καυχωμένων καὶ νικώντων ἐν τοῖς ἅρμασιν. VΕΓ3Μ

book 558 βαρυδαιμονούντων: ὅτι ἄθλιοι ἦσαν οἱ ἱπποτροφοῦντες καταναλίσκοντες αὐτῶν τὴν οὐσίαν. VΕΓΘΜLh

book 559 δεῦρ’ ἔλθ’] ἐνταῦθα σύναπτε τὸ “πρὸς τὸ παρεστώς”. Lh

book 560a δελφίνων μεδέων: περιφραστικῶς, τῆς θαλάσσης βασιλεῦ. “Σουνιάρατε” δὲ ᾧ ἐν τῷ Σουνίῳ ἀρῶνται καὶ εὔχονται. Σούνιον δὲ ἀκρωτήριον τῆς Ἀττικῆς. ΓΘ

book 560b δελφίνων μεδέων Σουνιάρατε] περιφραστικῶς, ὦ τῆς θαλάσσης βασιλεῦ. τὸ Σούνιον Ἀθηναίων ἀκρωτήριον. Μ

book 560c Σουνιάρατον τὸν Ποσειδῶνα λέγει διὰ τὸ ἐν Σουνίῳ ἀκρωτηρίῳ τῆς Ἀττικῆς ναὸν εἶναι αὐτοῦ καὶ τοὺς ἐν θαλάσσῃ εἰσερχομένους εὔχεσθαι ἐν αὐτῷ. Lh

book 560d δελφίνων μεδέων] ἤγουν τὴν θάλασσαν βασιλεύων. Lh

book 560e Σουνιάρατον] Σούνιον ἀκρωτήριον τῆς Ἀττικῆς. Lh

book 561a Γεραίστιε: Γεραιστὸς ἀκρωτήριον Εὐβοίας, τῇ μὲν Κρωμνίτην ἔχων, τῇ δὲ τὸ Λέχαιον· ἱερὰ δέ εἰσι τοῦ Ποσειδῶνος. ἔνθα ὁ Εὔριπος. VΕΓΘ

book 561b ὦ Γεραίστιε: Γεραιστὸς ἀκρωτήριον τῆς Εὐβοίας. ΜLh

book 562a Φορμίωνί τε φίλτατε: προσφιλέστατε τῷ Φορμίωνι. τὸν μῦθον δὲ αἰνίττεται, ὅτι καὶ ὁ Ποσειδῶν τῶν Ἀθηνῶν ἀντεποιήσατο καὶ τῇ Ἀθηνᾷ ἤρισεν. στρατηγὸς δὲ Ἀθηναίων ναυτικώτατος ὁ Φορμίων, καὶ πολλάκις εὐτυχήσας ἐν ναυμαχίαις· καὶ ἐν τῇ πρὸς Λακεδαιμονίους μάχῃ κατορθώσας νζʹ ναῦς διέφθειρεν. VΕΓΘΜ

book 562b φίλτατ’] προσφιλέστατε τῷ Φορμίωνι. Lh

book 563 τῶν ἄλλων τε θεῶν: ἐκ τῶν ἄλλων θεῶν μόνος σὺ δεῦρο ἐλθὲ Ἀθηναίοις πρὸς τὸ παρεστός, τουτέστι πρὸς τὰ παρόντα καὶ ἐνεστῶτα πράγματα, ἐπεὶ νεωστὶ Ἀθηναῖοι καὶ ὁ Φορμίων περὶ ναυμαχίαν ἠνδραγάθησαν. VΕΓ3Μ

book 564 πρὸς τὸ παρεστός] ἤγουν ἕνεκεν τῆς ἐνισταμένης ὑποθέσεως. Lh

book 565a εὐλογῆσαι βουλόμεσθα: τὸ ἐπίρρημα στίχων ἐστὶ ιςʹ τετραμέτρων τροχαϊκῶν καταληκτικῶν, ὃ φιλεῖ Ἀριστοφάνης. VΕΓ3Θ

book 565b εὐλογῆσαι δὲ ἀντὶ τοῦ ἐπαινέσαι, ὑμνῆσαι, ἐγκωμιάσαι. VΕΓ3Θ

book 565c εὐλογῆσαι] ἐγκωμιάσαι. Μ

book 565d εὐλογῆσαι] ἐπαινέσαι. Lh

book 566a (I) ἄξιοι καὶ τοῦ πέπλου: ἰδίᾳ παρὰ τοῖς Ἀθηναίοις πέπλος τὸ ἄρμενον τῆς Παναθηναϊκῆς νεώς, ἣν οἱ Ἀθηναῖοι κατασκευάζουσι τῇ θεῷ διὰ τετραετηρίδος. ἧς καὶ τὴν πομπὴν ἀπὸ τοῦ Κεραμεικοῦ ποιοῦσι μέχρι τοῦ Ἐλευσινίου. πέπλον δὲ καλοῦσι τὸ ἄρμενον διὰ τὸ ἐρεοῦν αὐτὸ εἶναι. VΕΓ3ΘΜ (II) ἄλλως: καὶ τοῦ πέπλου: οὗ ἐνεγέγραπτο Ἐγκέλαδος, ὃν ἀνεῖλεν ἡ Ἀθηνᾶ· ἦν δὲ εἷς τῶν Γιγάντων. ἐπεσκευάζετο οὖν ὁ πέπλος καθ' ἕκαστον ἐνιαυτόν, καὶ ἐπομπεύετο ἐν τοῖς Παναθηναίοις. VΕΓ3ΘΜ (III) ἄλλως: νικήσαντες πέπλον ἐποίησαν τῇ Ἀθηνᾷ καὶ ἐνέθεντο τὰς ἀριστείας ἐν αὐτῷ. VΕΓ3ΘΜ

book 566b τῆσδε τῆς γῆς] ταύτης τῆς χώρας. ΕΓ3

book 566c ἰδίως παρὰ τοῖς Ἀθηναίοις πέπλος τὸ ἄρμενον τῆς Παναθηναϊκῆς νεώς, ἣν οἱ Ἀθηναῖοι κατασκευάζουσι τῇ θεῷ διὰ τετραετηρίδος· ἧς καὶ τὴν πομπὴν ἀπὸ τοῦ Κεραμεικοῦ ποιοῦσι μέχρι τῆς Ἐλευσῖνος. ἢ πέπλον λέγει ὃν κατασκευάζουσι τῇ Ἀθήνῃ κατ' ἐνιαυτόν, τὰς ἀριστείας αὐτῆς ἐν αὐτῷ ὑφαίνοντες. καὶ Εὐριπίδης ἐν Ἑκάβῃ· "ἢ Παλλάδος ἐν πόλει τὰς καλλιδίφρου Ἀθαναίας ἐν κροκέῳ πέπλῳ ζεύξομαι ἅρματι πώλους." Lh

book 566d πέπλου] ἤγουν τοῦ ἀρμένου. Lh

book 567a ναυφράκτῳ στρατῷ: τῷ συμπεφραγμένῳ καὶ συντεταγμένῳ ναυτικῷ. VΕ

book 567b ναυφράκτῳ στρατῷ] συμπεφυρμένῳ· περὶ ναυμαχίαν ἠνδραγάθησαν. Μ

book 567c στρατῷ] ναυτικῷ. Lh

book 570a ἠρίθμησεν: ἀπεδειλίασεν, μεθ' ἡσυχίας ἦγεν. VLh

book 570b εὐθὺς ἦν ἀμυνίας: ἕτοιμος πρὸς τὸ ἀμῦναι· ὡς ἐπὶ τῶν ἐν πάλῃ ἀγωνιζομένων. VΕΜLh

book 571a (I) εἰ δέ που πέσοιεν εἰς τὸν ὦμον: ἡττηθεῖεν, ἧττον ἔχοντες ἀπέλθοιεν. VΕΓΘΜ (II) ἄλλως: εἶδος παλαίσματος, ὅ τινες ψευδόπτωμα καλοῦσιν. ἐπέμεινε δὲ τῇ τροπῇ. καὶ γὰρ τῶν παλαιόντων οἱ εἰς τὸν ὦμον πεσόντες ἐξαναστάντες εἰώθασιν ἀποψᾶν τὴν κόνιν, ἵνα μὴ ἴχνος ἔχοιεν μηδὲ ἔλεγχον τοῦ πτώματος. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὅτι οἱ πρόγονοι, εἰ καὶ ἡττηθεῖεν ἐν μάχῃ, πάλιν αὐτοὶ τὴν ἧτταν ἀνεκαλοῦντο τάχεως καὶ τοῖς νενικηκόσιν, ἡττηθεῖσιν ἐκ δευτέρου, πλέον τῆς προτέρας νίκης οὐδὲν ἦν. VΕΓΘΜ

book 571b ὦμον] τὰ μέλη. Μ

book 571c ἐκ μεταφορᾶς τῶν παλαιόντων εἴρηκε τὸ ἐς τὸν ὦμον πεσεῖν. οἱ γὰρ παλαίοντες ἐπειδὰν ἡττηθέντες κατὰ νώτου πέσοιεν, ἐξαναστάντες εἰώθασιν ἀποψᾶν τὴν κόνιν, ἵνα μὴ ἴχνος ἔχοιεν μηδὲ ἔλεγχον τοῦ πτώματος. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, ὅτι οἱ πρόγονοι αὐτῶν καὶ ἡττηθέντες ἐν μάχῃ πάλιν τὴν ἧτταν ἀνεκαλοῦντο τάχεως, καὶ νικήσαντες αὐτοὶ ὕστερον ἠρνοῦντο μὴ ἡττηθῆναι. ἐπέμεινε δὲ τῇ τροπῇ διόλου τῶν παλαιόντων. Lh

book 571d πέσοιεν] ἡττηθεῖεν. Lh

book 572 ἀπεψήσαντ' ἄν: ἀπεμάξαντο ὡς οἱ παλαίοντες, ἵνα μηδὲν ἔχοιεν ἴχνος τοῦ πτώματος. VΕΓΘLh

book 573a διεπάλαιον] ἀνεπάλαιον, ἀνεμάχοντο. ΕLh

book 573b καὶ στρατηγὸς οὐδ' ἂν εἷς] καὶ τῶν στρατηγῶν οὐδὲ εἷς τῶν τότε. ΕΓ3Lh

book 574a ουτοσεπιτησδη[ τησεωσην·
ονφασιν[ πεπραχεναιτωικλε[ στρατηγησαντικατ[ τοτησδημοσιασσιτη[

book 574b (I) τῶν πρὸ τοῦ σίτησιν: σίτησιν λέγει τὴν ἐν πρυτανείῳ τράπεζαν. τουτέστι δημοσίᾳ τρέφεσθαι οὐδεὶς ἂν τῶν παλαιῶν ἠξίωσεν· ὡς τῶν κατ' αὐτὸν στρατηγῶν τοῦτο ποιούντων, καὶ ὡς ἐπὶ μισθῷ ὑφισταμένων κατορθῶσαί τι τῇ πόλει. VΕΓ3ΘΜ (II) ἄλλως: στρατηγῶν Ἀθηναίων τῶν πρότερον οὐδεὶς ⟦πρὸ τοῦ πολέμου⟧ σίτησιν ᾔτησεν, ἂν μὴ ὁ δῆμος χαρίζηται· νῦν δὲ ἐὰν μὴ

τιμῶνται καὶ προεδρίᾳ καὶ σιτίοις, ἀγανακτοῦσιν. ἔσκωψε δέ· οὐ γὰρ εἶπε σίτησιν. ἐὰν μὴ γένωνται πρόεδροι καὶ τιμῆς ἀξιωθῶσιν, οὐ μαχέσεσθαί φασιν. VΕΓ3Θ

book 574c ἐρόμενος Κλεαίνετον: οὗτος ὁ Κλεαίνετος φαίνεται κατεδηδοκὼς τὴν οὐσίαν καὶ ἡδυπαθήσας. οἱ δέ, ὅτι οὗτος ἔγραψε ψήφισμα μὴ δεῖν δοθῆναι τοῖς στρατηγοῖς σίτησιν. σπανίως δὲ μέμνηται τοῦ Κλεαινέτου καὶ σχεδὸν ἐνταῦθα μόνον. στοχάζονται οὖν τινες ὅτι οὗτος ἂν εἴη ὁ τὴν σίτησιν περιποιήσας τῷ Κλέωνι. VΕΓ3ΘMLh

book 574d σίτησιν] τὴν ἐν πρυτανείῳ τράπεζαν λέγει. Lh

book 574e ἐρόμενος] ἐρωτήσας. Lh

book 575a νῦν δ’ ἐὰν μὴ προεδρίαν φέρωσι: τιμῆς καὶ οὗτος τρόπος. ἐξῆν δὲ τοῖς τῆς τιμῆς ταύτης τυχοῦσι καὶ ἐν βουλευτηρίῳ καὶ ἐν ἐκκλησίᾳ καὶ ἐν θεάτροις καὶ ἐν ἄλλῳ παντὶ συλλόγῳ τοὺς προλαμβάνοντας, οἵτινες ἦσαν, ἐξεγείραντας αὐτοὺς εἰς τὸν ἐκείνων τόπον καθίσαι. πεποίηται δὲ τὸ ὄνομα ἀπὸ τοῦ τὴν πρώτην ἕδραν αὐτοὺς ἔχειν. ⟦ἄλλως.⟧ ἐὰν μὴ πρότερον, φησί, τοιούτου τύχωσί τινος, ἀπειλοῦσι μὴ μαχέσεσθαι, διὰ τούτων καθαπτόμενος ὁμοῦ τῶν τε Ἀθηναίων καὶ τῶν στρατηγῶν· τῶν μὲν Ἀθηναίων ὡς ἀναξίοις διδόντων τὰς τιμὰς καὶ τὰς δωρεάς, εἰ πρίν τι δρᾶσαι τὴν πόλιν ἀγαθόν, ταῦτα διδόασιν αὐτοῖς· τῶν δὲ στρατηγῶν, ὡς τιμωμένων πρὶν τῶν κατορθωμάτων,

book 575a καὶ τῶν ἤδη τιμῆς τινος τετυχηκότων τὴν δόξαν ἀφαιρουμένων, εἰ φαίνοιντο τὴν δωρεὰν λαβόντες οὐκ ἐπ’ ἀνδραγαθήμασιν. VΕΓΘM

book 575b καὶ τὰ σιτία: ἐπὶ στρατείαν ἐξιόντες χρόνου τινὸς ἐπήγοντο σιτία. οὗτοι δέ, φησίν, οἱ νῦν, ἐὰν μὴ προεδρίας τινὸς καὶ τιμῆς ἀξιωθῶσιν, οὐκ ἐξίασιν ἐπὶ τὸν πόλεμον· σιτία γοῦν εἶπε τὴν ἐν πρυτανείῳ σίτησιν. VΕΓ3ΘM

book 575c φέρωσι] λάβωσι. Γ3

book 575d τῶν προτέρων στρατηγῶν οὐδεὶς πρὸ τοῦ πολεμῶσαι σίτησιν ᾔτησεν, ἂν μὴ ὁ δῆμος χαρίζηται. νῦν δὲ ἂν μὴ τιμῶνται προεδρίᾳ καὶ σιτήσει, οὐ μάχονται. σκώπτει δὲ αὐτοὺς ὡς ἐπὶ μισθῷ ὑφισταμένους τὸν ὑπὲρ τῆς πόλεως ἀγῶνα καὶ δῶρα λαμβάνοντας καὶ ἐπὶ τοῖς ἀνδραγαθήμασι, μᾶλλον δὲ καὶ πρὸ τούτων κομιζομένους. σκώπτει δὲ καὶ Ἀθηναίους, ὡς ἀναξίοις διδόντας τὰς τιμὰς καὶ τὰς δωρεὰς καὶ πρὶν κατορθῶσαι χρηστόν τι ὑπὲρ τῆς πόλεως. Lh

book 575e προεδρίαν φέρωσι] προκαθεδρίαν, τιμὴν λάβωσι. Lh

book 575f τὰ σιτία] τὴν ἐκ τοῦ πρυτανείου σίτησιν. Lh

book 577 προῖκα] κατὰ χάριν καὶ ἐπὶ μισθῷ. Lh

book 580a απεξεσμενοισκαια[ μεν[....]γαρ[

book 580b τρυ]φῶσιν ἢ πλουτοῦσιν· τὸ γὰρ κομᾶ[ν ἔλεγον] ἐπὶ τῷ τρυφᾶν καὶ γαυρύνεσθαι κ[αὶ μέγα φρο]νεῖν· ἄλλως τε καὶ ταῖς θριξὶν κομ[ᾶν εἰς τι]μὴν συγκεχώρηται αὐτοῖς.

book 580c κομῶσι: τρυφῶσι, πλουτοῦσι. τὸ γὰρ κομᾶν ἐπὶ τοῦ τρυφᾶν ἔλεγον καὶ γαυροῦσθαι καὶ μέγα φρονεῖν· ἄλλως τε καὶ ταῖς θριξὶ κομᾶν εἰς τιμὴν συγκεχώρηται αὐτοῖς. VΕΓ3ΘM

book 580d (I) ἀπεστλεγγισμένοις: ἔλαιον ἀλειφομένοις καὶ στάζουσι. στλεγγὶς δὲ ἡ ξύστρα τοῦ ἐλαίου. VΕΓΘM (II) ἄλλως: κεκαρμένοις. Κινέας γὰρ καὶ Φρῖνος εἰσηγήσαντο μεταστῆναι τοὺς νέους, νόμον γράψαντες μηκέτι ἁβροδιαίτους εἶναι, ὃν τρόπον τὸ πάλαι, μηδὲ κομᾶν. ἢ ἀπεξυσμένοις καὶ ἐπανήκουσιν ἀπὸ ἀλείμματος. Ἀπίων δὲ ἀκούει στλεγγίδας τὰς σταγόνας τοῦ ἐλαίου. ἢ ἀπεστλεγγισμένοις ἀντὶ τοῦ ἐγκεκαθαρμένοις, ματτομένοις. στλεγγὶς γὰρ ἡ ξύστρα. VΕΓΘM

book 580e ἀπεστλεγγισμένοις] ἔλαιον ἀλειφομένοις καὶ στάζουσι. MLh

book 580f

Κινέας εἰσηγήσατο κεκαρμένους εἶναι τοὺς νέους, νόμον γράψας μηκέτι ἁβροδιαίτους εἶναι, ὃν τρόπον τὸ παλαιόν, μηδὲ κομᾶν. Ἀπίων δὲ ἀκούει στλεγγίδας τὰς σταγόνας τοῦ ἐλαίου. στλεγγὶς γὰρ ἡ ξύστρα τοῦ ἐλαίου. Lh

book 580g κομῶσι] τρυφῶσι, πλουτοῦσι. Lh

book 581a ὦ πολιοῦχε Παλλάς: ἡ τὴν πόλιν κατειληφυῖα καὶ περιέχουσα ⟦ἐπεὶ καὶ ἦρχε τῆς πόλεωσ⟧. ἔφορος γὰρ τῆς πόλεως ἡ θεός. καὶ τὴν ἐπὶ τοῖς πολέμοις ἀρετὴν .... διὰ τούτων ἐδήλωσεν αὐτῆς. ὁ δὲ νοῦς, ὦ τῆς ἁπασῶν ὑπερφερούσης χώρας μεδέουσα ἐν δυνάμει καὶ ποιηταῖς. ὁμοῦ δὲ καὶ τὴν ἐπὶ σοφίᾳ δόξαν τῆς πόλεως καὶ τὴν ἐπὶ τοῖς πολέμοις ἀρετὴν διὰ τούτων ἐδήλωσεν. VΕΓΘ

book 581b ὦ πολιοῦχε Παλλάς: ὦ τῆς ἁπασῶν ὑπερφερούσης χώρας μεδέουσα ἐν δυνάμει καὶ ποιηταῖς. Μ

book 581c πολιοῦχε] ἡ τὴν πόλιν περιέχουσα. ἔφορος γὰρ τῆς πόλεως ἡ θεός. Lh

book 581d (ad vv. 581—94) ὦ πολιοῦχε Παλλάς: ἡ ἀντῳδὴ αὕτη καὶ ἀντιστροφὴ ἐκ κώλων ἐστὶν ὁμοίων τῆς ᾠδῆς καὶ στροφῆς ιδʹ. καὶ τὰ μὲν ηʹ χοριαμβικά ἐστιν, τὰ δὲ ϛʹ ἀντισπαστικά, ὧν τελευταῖον ”–κην εἴπερ ποτὲ καὶ νῦν”. ἐπὶ τῷ τέλει δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος. Lh

book 582 ἱερωτάτης] διὰ τὸ πάντας θεοὺς τιμᾶσθαι ἐν αὐτῇ καὶ ἱερὰ τούτων ἔχειν. Lh

book 583 πολέμῳ τε καὶ ποιηταῖς] τὴν ἐπὶ τῇ σοφίᾳ δόξαν τῆς πόλεως καὶ τὴν ἐπὶ τοῖς πολέμοις ἀρετὴν διὰ τούτων ἐδήλωσεν. Lh

book 584 ὑπερφερούσης] ὑπερβαλλούσης. ΕΓ3

book 585a μεδέουσα] βασιλεύουσα. ΕΓ3

book 585b μεδέουσα] βασιλεύουσα τῶν Ἀθηνῶν. Lh

book 586a δεῦρ’ ἀφίκου: ἐλθὲ καὶ παραγενοῦ· ἐπικαλεῖται δὲ τὴν θεὸν μετὰ τῆς Νίκης εὐμενῆ παραστῆναι τοῖς ποιήμασιν αὐτοῦ. VΕΓ3

book 586b ἀφίκου] ἐλθέ. Lh

book 588 ξυνεργόν] συμπράκτορα καὶ σύμμαχον καὶ συνεργόν. ΕΓ3Lh

book 589a (I) ἣ χορικῶν ἐστιν ἑταίρα: ἥτις τοῖς χοροῖς ἐστι προσφιλὴς καὶ συνήθης. οἱ γὰρ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ ⟦καὶ τραγικοὶ⟧ χοροὺς ἵστασαν, οἳ τὰ χορικὰ ὑπεκρίνοντο καὶ ᾖδον μέλη. συνειστήκει δὲ ὁ χορὸς ἐξ ἀνδρῶν ἤδη καὶ γυναικῶν, ὁμοῦ δὲ καὶ ἐκ παίδων. ἔστι δ’ ὅτε καὶ ἡμιχόρια ἵσταντο, ἤτοι ἐξ ἀνδρῶν καὶ γυναικῶν. ἐν δὲ τοῖς τοιούτοις χοροῖς, εἰ μὲν ἐξ ἀνδρῶν εἴη καὶ γυναικῶν ὁ χορός, ἐπλεονέκτει τὸ τῶν ἀνδρῶν μέρος καὶ ἦσαν ιγʹ, αἱ δὲ γυναῖκες ιαʹ· εἰ δὲ παίδων εἴη καὶ γυναικῶν, αἱ μὲν γυναῖκες ιγʹ ἦσαν, οἱ δὲ παῖδες ιαʹ. εἰ δὲ πρεσβυτῶν καὶ νέων, τοὺς πρεσβύτας πλεονεκτεῖν φασὶ δεῖν. VΕΓΘΜ (II) ἄλλως: χορικῶν: τῶν κωμικῶν καὶ τραγικῶν. οἷον ἣ ἐνίκων ἢ ἡττῶντο ἀγωνιζόμενοι. VΕΓ3Μ

book 589b οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ καὶ οἱ τραγικοὶ χοροὺς ἵστασαν, οἳ τὰ χορικὰ ὑπεκρίνοντο καὶ ᾖδον μέλη. συνειστήκει δὲ ὁ χορὸς ἐξ ἀνδρῶν καὶ γυναικῶν ὁμοῦ καὶ παίδων. ἔστι δ’ ὅτε καὶ ἡμιχόρια ἵστασαν, ἤτοι ἐξ ἀνδρῶν καὶ γυναικῶν. ἦν δὲ ὁ μὲν κωμικὸς χορὸς ἐξ ἀνδρῶν καὶ γυναικῶν κδʹ, ὡς καὶ οὗτος ἀπηρίθμησεν ἐν Ὀρνίθων δράματι, ἄρρενας μὲν ὄρνις ἀπαριθμήσας ιβʹ, θηλείας δὲ ιβʹ, ὁ δὲ τραγικὸς ιεʹ, ὡς Αἰσχύλος ἀπαριθμεῖ ἐν Ἀγαμέμνονος δράματι. φασὶ δὲ ὅτι ἐπλεονέκτει πάντοτε τὸ τῶν ἀνδρῶν μέρος, καὶ ἦσαν ιγʹ, αἱ δὲ γυναῖκες ιαʹ· εἰ δὲ παίδων εἴη καὶ γυναικῶν, αἱ γυναῖκες ἦσαν πλείους ἤγουν ιγʹ· εἰ δὲ πρεσβυτῶν καὶ νέων, ἐπλεονέκτει τὸ τῶν πρεσβυτῶν μέρος. Lh

book 589c ἑταίρα] ἥτις τοῖς χοροῖς ἐστι προσφιλὴς καὶ συνηθής. Lh

book 590a τοῖς τ’ ἐχθροῖς: τοῖς ἀντιπάλοις, τοῖς ἀνταγωνισταῖς. “στασιάζει” δὲ ἀντὶ τοῦ πρὸς φιλονεικίαν διαφέρεται. VEΓ3M

book 590b τοῖς τ’ ἐχθροῖσι] τοῖς ἀντιπάλοις. Lh

book 590c στασιάζει] πρὸς φιλονικίαν διαφέρεται. Lh

book 593 πορίσαι] ἐξευρεῖν, παρασχεῖν. EΓ3Lh

book 594 εἴπερ ποτὲ καὶ νῦν] εἴπερ ποτὲ ἄλλοτε καὶ νῦν. VEΓ3

book 595a ἃ ξύνισμεν: ὅτι καὶ αὐτοὶ παρακολουθήσαντες γιγνώσκομεν. ἐπεὶ δὲ ἀλλότρια τῆς ἵππων φύσεως μέλλει περὶ αὐτῶν λέγειν, ἵνα θεραπεύσῃ τῆς ἐπαγγελίας τὸ ἀπίθανον, ἅπερ αὐτοῖς συνέγνω ταῦτά φησι περὶ αὐτῶν ἐρεῖν. VEΓΘM

book 595b τοῖσιν ἵπποισιν: ἵνα μὴ εἴπῃ τοῖς ἱππεῦσι καὶ δόξῃ χαρίζεσθαι τῷ χορῷ, ἀλλ’ ἵνα διὰ τῶν ἵππων ἐπαινέσῃ αὐτούς. VEΓ3MLh

book 595c τοῖσιν] ὡς ἰδίοις. E

book 595d ἐπεὶ ἀλλότρια τῆς τῶν ἱππέων φύσεως μέλλει περὶ αὐτῶν λέγειν, ἵνα θεραπεύσῃ τῆς ἐπαγγελίας τὸ ἀπίθανον, ἅπερ αὐτοῖς συνέγνω ταῦτά φησι περὶ αὐτῶν ἐρεῖν. Lh

book 595e ξύνισμεν] γινώσκομεν. Lh

book 596 εὐλογεῖσθαι] ἐπαινεῖσθαι. Lh

book 597 ἐσβολάς: τὰς ἐπὶ τὴν τῶν πολεμίων χώραν ἐφόδους ἐκάλουν ἐσβολάς. VEΓΘMLh

book 599 ἱππαγωγούς] τὰς ἵππους καὶ ἄνδρας ἀγούσας ναῦς. EΓ3Lh

book 600a (I) κώθωνας: εἴδη ποτηρίων ἃ ἐλάμβανον οἱ στρατιῶται. τοὺς ἱππεῖς δὲ ἐπαινεῖν βουλόμενος ταῦτά φησιν. ἄλογον γὰρ ἀλόγοις ζῴοις λογισμὸν περιτιθέναι. τοὺς δὲ Ἀθηναίους ἐπαινεῖ, ἐπεὶ ἠπειρῶται ὄντες ἀντεποιήσαντο τῆς θαλάττης, καὶ οὐκ ἀπέτυχον τῆς προσδοκίας. διὰ δὲ τοῦ σκορόδου καὶ κρομμύου τὴν εὐτέλειαν δείκνυσι τῶν τε ναυτικῶν καὶ στρατιωτικῶν σιτίων, ὅτι εὐτελῆ ⟦ὡσ⟧ οἱ στρατιῶται ἔφερον. VEΓΘMLh (II) ἄλλως: κώθων εἶδος ἐκπώματος ὀστρακίνου, ἢ εἶδος ποτηρίου Λακωνικοῦ καὶ στρατιωτικοῦ· ἐπειδὴ μεριστὸν ὕδωρ ἐλάμβανον οἱ ναῦται, κώθωνας εἶχον. VEΓ3M

book 600b κώθωνας] εἶδος ἐκπώματος ὀστρακίνου, ἃ ἐλάμβανον οἱ στρατιῶται ἐξερχόμενοι πρὸς μάχην. Lh

book 602a ἱππαπαί, τίς ἐμβαλεῖ;: ἰδίως τὸ κροῦσαι ναυσὶν ἐμβαλεῖν λέγουσιν· φησὶν οὖν, τίς ὁ τολμήσας τοῖς ἱππόταις ἐξ ἐναντίας ἀντιστῆναι; κυρίως οὖν τὸ ἐμβαλεῖν τὸ ταῖς κώπαις κροῦσαι· νῦν δὲ ἀντὶ τοῦ τοῖς ἵπποις συμβαλεῖν. τὸ δὲ “ἱππαπαί” ἔπαιξε παρὰ τὸ ῥυππαπαί, εἰρηκὼς ὡς ἐπὶ ἵππων. ἔστι δὲ τὸ ῥυππαπαὶ ἐπιφώνημα ναυτικόν· ἢ ψόφου ἐστὶ μίμημα ἀπὸ τῶν κωπῶν ἀποτελουμένου. VEΓΘM

book 602b ἔπαιξε τὸ “ἱππαπαί” ἀντὶ τοῦ ῥυππαπαὶ εἰρηκὼς ὡς ἐπὶ ἵππων. ἔστι δὲ τὸ ῥυππαπαὶ ἐπιφώνημα ναυτικόν, ἢ ψόφου ἐστὶ μίμημα ἀπὸ τῶν κωπῶν ἀποτελουμένου. Lh

book 602c ἐμβαλόντες] ἰδίως τὸ κροῦσαι ναυσὶν ἐμβαλεῖν λέγουσι, νῦν δὲ ἀντὶ τοῦ τοῖς ἵπποις. Lh

book 603a οὐκ ἐλᾷς: οὐκ ἐρέττεις, οὐ κωπηλατεῖς. VEΓ3

book 603b ὦ σαμφόρα: ἰδίως σαμφόραι καλοῦνται ἵπποι ἐγκεχαραγμένοι τὸ ς σημεῖον· οἱ δὲ Δωριεῖς τὸ ς σὰν λέγουσιν. VEΓΘMLh

book 604a ἐξεπήδων: κυρίως τὸ “ἐξεπήδων” ἐπὶ τῶν ἵππων. φησὶ δὲ ἐξώρμων. ἐναργεῖ δὲ λέξει κέχρηται δεικνὺς αὐτῶν τὴν προθυμίαν. VEΓΘ

book 604b ἐξεπήδων] ἐναργεῖ λέξει κέχρηται δεικνὺς αὐτῶν τὴν προθυμίαν. Lh

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 606a (I) ἀντὶ πόας Μηδικῆς: τοῦ παρ’ ἡμῖν χόρτου· ἡ τῶν Μήδων χώρα ἔφυδρος οὖσα χόρτον πολὺν ἐκφέρει. λέγεται δὲ καὶ πόα τις Μηδικὴ ἀρίστη καὶ καλλίστη καὶ ἐπιτηδειοτάτη ἵπποις· ἡ αὐτὴ δὲ καὶ τρίφυλλος λέγεται. ἢ ὅτι Μῆδοι ἐχθροὶ Ἀθηναίων. VEΓΘΜ (II) ἄλλως: ἀντὶ λόχου Μηδικοῦ. ἐδόκει γὰρ ἡ Μηδικὴ χώρα, πεδιάς τε οὖσα καὶ κάθυγρος, εὔφορος εἶναι εἰς τὰς τῶν κτηνῶν τροφάς. ἐπεὶ τοῖς Ἀθηναίοις ἔθος ἦν Μήδων κρατεῖν. VEΓ3Θ

book 606b ἐδόκει ἡ Μηδία χώρα κάθυγρος οὖσα εὔφορος εἶναι εἰς κτηνῶν τροφάς. ἐπεὶ τοῖς Ἀθηναίοις ἔθος ἦν Μήδων κρατεῖν, ἢ ὅτι ἐχθροὶ ἦσαν Μῆδοι Ἀθηναίων. Lh

book 606c παγούρους] τοὺς παρ’ ἡμῖν καράβους. ΕΓ3

book 606d παγούρους] τοὺς παρ’ ἡμῖν γάλους. Lh

book 606e πόας Μηδικῆς] τοῦ παρ’ ἡμῖν χόρτου. Lh

book 607a εἴ τις ἐξέρπει: ἐπέμεινε τῇ τροπῇ πλέον τι περὶ τῶν Ἀθηναίων φιλοτιμούμενος· οὐ γὰρ τοὺς προϊόντας, φησί, μόνους διέφθειρον συλλαμβάνοντες, ἀλλὰ καὶ τοὺς ἐν αὐτοῖς ὄντας τοῖς βυθοῖς. ταῦτα δὲ πάντα εἶπε πρὸς τὴν ἐμπειρίαν αὐτῶν ἀποτεινόμενος τὴν περὶ τὰ ναυτικά. VEΓΘΜ

book 607b εἴ τις ἐξέρποι θύραζε] εἴ τις προκύψειε μόνον. ΕΓ3Lh

book 607c κἀκ βυθοῦ θηρώμενοι] ἤγουν καὶ τοὺς ἐν αὐτοῖς ὄντας τοῖς βάθεσιν. Lh

book 608a Θέωρος: ὁ ποιητὴς Θέωρος ἔφη εἰπεῖν τινα Κάρκινον Κορίνθιον ταῦτα. ⟦ἀποδέχεται δὲ αὐτοὺς πίνοντας ἕνεκα τοῦ νικῆσαι μόνον.⟧ ὁ Θέωρος ἔγραψε Κάρκινον λέγοντα πρὸς τὸν Ποσειδῶνα καὶ ἀποδυσπετοῦντα. προσκρούει εἴς τινα Κάρκινον. διὰ τοῦτο γὰρ καὶ τοὺς ἱππέας καὶ οὐχ ἵππους. ὡς μοιχὸς δὲ κωμῳδεῖται ὁ Θέωρος καὶ ἰχθυοφάγος καὶ πονηρός. περὶ Κόρινθον οὖν διέτριβεν, ἴσως διὰ τὰς ἐκεῖ πόρνας· ἦν δὲ καὶ κόλαξ. ταῦτα οὖν λέγει ἴσως κολακεύων τοὺς ἱππέας. VEΓΘΜ

book 608b ὁ Θέωρος ἔγραψε Κάρκινόν τινα ἀποδυσπετοῦντα καὶ λέγοντα τοιαῦτα πρὸς τὸν Ποσειδῶνα. ὡς μοιχὸς δὲ κωμῳδεῖται καὶ ἰχθυοφάγος καὶ πονηρός. ἐν Κορίνθῳ δὲ διέτριβεν, ἴσως διὰ τὰς ἐκεῖ πόρνας. ἦν δὲ καὶ κόλαξ. ταῦτα οὖν λέγει ἴσως κολακεύων τοὺς ἱππέας. Lh

book 608c Θέωρος] οὗτος ποιητὴς διατρίβων εἰς Κόρινθον. Lh

book 609 (I) δεινά γ’ ὦ Ποσεῖδον: δοκοῦσι γὰρ οἱ Κορίνθιοι μάλιστα σέβεσθαι τὸν Ποσειδῶνα διὰ τὸν Ἰσθμόν· ὅθεν καὶ γυμνικὸν ἀγῶνα, τὰ Ἴσθμια, ἐπιτελοῦσι τῷ τε Παλαίμονι καὶ τῷ Ποσειδῶνι. VEΓΘLh (II) ἄλλως: ὅτι οἱ Ἀθηναῖοι ἐστράτευσαν ἐπὶ Κόρινθον καὶ περὶ Κεγχρέας ἐνίκησαν Νικίου στρατηγοῦντος τοῦ Νικηράτου σὺν ἱππεῦσι σ′ καὶ ὁπλίταις καὶ ναυσί. VEΓΘLh

book 610a μήτ’ ἐν γῇ μήτ’ ἐν θαλάττῃ: ὡς τῶν Ἀθηναίων οὐ κατὰ θάλατταν μόνον, ἀλλὰ καὶ κατὰ γῆν ἐν τοῖς πολέμοις κρατούντων. VEΓ3MLh

book 610b . Lh

book 611 (I) (ad vv. 611—5) ὦ φίλτατ’ ἀνδρῶν: ἔτι τοῦ χοροῦ ἴαμβοι τρίμετροι ἀκατάληκτοι 〈δ′, ὁ δὲ〉 πέμπτος τοῦ ὑποκριτοῦ παρερχομένου. VEΓ3 (II) ἄλλως: ὦ φίλτατε: ὁ χορὸς πρὸς τὸν ἀλλαντοπώλην ἥκοντα ἀπὸ τῆς βουλῆς ⟦καὶ⟧ καταγωνισάμενον Κλέωνα. VEΓ3Lh

book 612a φροντίδα: ἀγωνίαν καὶ μέριμναν καὶ φόβον. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· εἰς δέος κατέστησας ἡμᾶς, μὴ παρευδοκιμηθῇς πρὸς τοῦ Κλέωνος. VEΓΘ

book 612b φροντίδα] ἀγωνίαν καὶ φόβον μὴ νικηθῇς πρὸς τοῦ Κλέωνος. Lh

book 613 σῶς] μὴ παθών τι ὑπ’ ἐκείνου. Lh

book 614 ἄγγειλον] εἰπέ. Lh

book 615a

νικόβουλος ἐγενόμην: ἐγώ, φησί, τὴν νίκην ἀπηνεγκάμην. ἀστείως δὲ κέχρηται τῷ συνθέτῳ καὶ τὰ ὀνόματα συνέπλεξεν ἄμφω. ἐν τῇ βουλῇ γὰρ τὴν φιλονεικίαν ἐποιήσαντο προκαλεσαμένου τοῦ Κλέωνος, καὶ οἱ βουλευταὶ τὴν νίκην προσέκριναν αὐτῷ. VEΓΘ

book 615b νικόβουλος ἐγενόμην] ἐγὼ τὴν νίκην ἀπηνεγκάμην· ἀστείως δὲ κέχρηται τῷ συνθέτῳ ὀνόματι. Lh

book 616a (ad vv. 616—23) ὢ καλὰ λέγων: διπλῆ καὶ περίοδος τοῦ χοροῦ ὀκτάκωλος, ἧς τὸ πρῶτον τροχαϊκὸν τρίμετρον ἀκατάληκτον, τὸ δεύτερον ἐν εἰσθέσει παιωνικὸν τετράρρυθμον, τὰ δὲ λοιπὰ ἐν ἐπεισθέσει, τὸ τρίτον παιωνικὸν δίρρυθμον, τὸ τέταρτον τροχαϊκὸν ἑφθημιμερές, τὸ πέμπτον παιωνικὸν δίρρυθμον, τὸ ἕκτον τροχαϊκὸν τρίμετρον ἀκατάληκτον, τὸ ἕβδομον ὅμοιον καὶ τὸ ὄγδοον τροχαϊκὸν ἑφθημιμερές. VEΓ3Q

book 616b (ad vv. 616—23) νῦν ἄρ' ἄξιόν γε πᾶσιν: εἴσθεσις χοροῦ προῳδική, στροφῆς λόγον ἔχουσα. ἔχει γὰρ καὶ ἀντίστροφον τὸ "Πάντα δὴ πέπραγας" καὶ ἔστιν ἐκ στίχων καὶ κώλων η', ὧν τὸ πρῶτον τροχαϊκὸς τετράμετρος βραχυκατάληκτος, τοῦ ἕκτου ποδὸς τριβράχεος. ὁ δεύτερος παιωνικὸς καθαρὸς τετράμετρος καταληκτικός. τὸ τρίτον ὅμοιον, δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, διὰ τὸ καὶ τῆς ἀντιστροφῆς τοιοῦτον εἶναι, πλὴν ἐνταῦθα ἰωνικὸν ἔχει ἀντὶ τοῦ παιῶνος. τὸ τέταρτον τροχαϊκὸν ἑφθημιμερές, ὃ καλεῖται Εὐριπίδειον ἢ ληκύθιον. τὸ πέμπτον παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ κρητικῶν, ὃ καλεῖται δίρρυθμον. ὁ ἕκτος καὶ ἕβδομος τροχαϊκοὶ τρίμετροι ἀκατάληκτοι.

book 616b τὸ ὄγδοον ὅμοιον τῷ τετάρτῳ. εἰσὶ δὲ καὶ ταῦτα τὰ πολυσχημάτιστα. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα. Lh

book 616c ἐπολολύξαι] εὔξασθαι καὶ εὐφημῆσαι. EΓ3Lh

book 618 εἴθ' ἐπέλθοις: εἴθε ἐθελήσαις μοι διελθεῖν καὶ διηγήσασθαι πάντα τὰ πραχθέντα σοι καὶ γεγενημένα. VEΓ3Lh

book 621a κἂν μακρὰν ὁδὸν διελθεῖν: καὶ ἀποδημίαν 〈ἂν〉 στείλασθαί μοι δοκῶ, ὥστε μαθεῖν τὰ πεπραγμένα. θέλω, φησί, καὶ μακρὰν ὁδὸν διελθεῖν, ἵνα μάθω πῶς ἐνίκησας τὸν Κλέωνα. VEΓΘM

book 621b μακρὰν ὁδὸν διελθεῖν ὥστ' ἀκοῦσαι] ἀποδημίαν στείλασθαι ὥστε μαθεῖν τὰ πεπραγμένα. Lh

book 623a λέγ', ὡς ἅπαντες ἡδόμεθά σοι: ὡς ἐπὶ τῇ σῇ εὐφραινόμεθα νίκῃ καὶ χαίρομεν. λείπει δὲ ἡ ἐπί, ἵν' ᾖ ἐπὶ σοί· ἢ ἡ σύν, ἵν' ᾖ συνηδόμεθά σοι. VEΓΘM

book 623b ἡδόμεθά σοι] ἐπὶ τῇ σῇ εὐφραινόμεθα νίκῃ. Lh

book 624a (ad vv. 624—82) διπλῆ 〈καὶ〉 στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι νθ'. VEΓ3

book 624b (ad vv. 624—82) καὶ μὴν ἀκοῦσαί γ' ἄξιον: ἡ περιοδικὴ αὕτη καὶ μονοστροφικὴ εἴσθεσις τοῦ ὑποκριτοῦ διηγηματική ἐστιν, ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων νθ', ὧν τελευταῖος "ὀβολοῦ κορίαννοις ἀναλαβὼν ἐλήλυθα". ἐπὶ τῷ τέλει παράγραφος. Lh

book 625 αὐτοῦ κάτοπιν ἐνθένδ' ἱέμην] ὄπισθεν ἢ μετ' αὐτοῦ ἐπηκολούθουν. VEΓ3Lh

book 626a (I) ἐλασίβροντα 〈ἀναρρηγνύς:〉 τουτέστι πλάττων καὶ κατασκευάζων καὶ συντιθείς. ἔχεται δὲ καὶ τοῦτο τὸ ῥῆμα ἐμφάσεως μείζονος. VEΓΘ (II) ἄλλως: ὥσπερ ὑπὸ βροντῆς ἐλαυνόμενα· τουτέστι μεγαληγορῶν καὶ ὑπερόγκοις χρώμενος ῥήμασι, γέμουσι ψόφου. ἤτοι δὲ τὴν φωνὴν σκώπτει τοῦ Κλέωνος ⟦ὅτι τραχέως ἐφθέγγετο ἢ⟧ ὡς τραχεῖαν, ἢ πρὸς τὴν ἀπειλήν, ἣν ἠπείλησεν ὁ Κλέων εἰπὼν συνταράξειν τήν τε γῆν καὶ τὴν θάλατταν ἐπ' αὐτῷ. τό τε γὰρ τὴν γῆν κινεῖν καὶ σαλεύειν, καὶ τοὺς τῆς θαλάττης βυθούς, ἔργον τοῦ Διός, ὡς καὶ τὸ βροντᾶν. προπαροξυτόνως δὲ ἀναγνωστέον ἐλασίβροντα.

book 626a VEΓΘM

book 626b ὁ δ’ ἄρ’ ἔνδον] ὁ δὲ Κλέων καταλαβὼν τὸ βουλευτήριον. τὸ δὲ “ἐλασίβροντα” παρὰ τὰ ἐξ ἀρχῆς Πινδάρου. E

book 626c ἢ τὴν φωνὴν σκώπτει τοῦ Κλέωνος ὅτι ταχέως ἐφθέγγετο ἢ τραχέως, ἢ πρὸς τὴν ἀπειλὴν ἣν ἠπείλησεν εἰπὼν συνταράξειν τήν τε γῆν καὶ τὴν θάλασσαν ἐπ’ αὐτῷ. τό τε γὰρ τὴν γῆν κινεῖν καὶ τοὺς τῆς θαλάσσης σαλεύειν βυθοὺς ἔργον τοῦ Διός, ὡς καὶ τὸ βροντᾶν. τὴν μεγαληγορίαν δὲ αὐτοῦ δείκνυσι διὰ τῶν τοιούτων λέξεων. Lh

book 626d ὁ δ’ ἄρ’ ἔνδον] ὁ Κλέων καταλαβὼν τὸ βουλευτήριον. Lh

book 626e ἀναρρηγνὺς ἔπη] ἀνασπῶν καὶ μετὰ σφοδρότητος λέγων. Lh

book 627a τερατευόμενος: ψευδόμενος καὶ μηδὲν ἀληθὲς μηδὲ ὑγιὲς λέγων. VEΓ3MLh

book 627b ἤρειδε κατὰ τῶν ἱππέων: ἠφίει καὶ ἔπεμπε κατὰ τῶν ἱππέων. ἔφαμεν δὲ ὅτι συνέστηκεν ὁ χορὸς ἐκ τῶν ἱππέων. εἰς τρία γὰρ μέρη τὸ παλαιὸν τῶν Ἀθηναίων διῄρητο ὁ δῆμος, εἴς τε τοὺς πεντακοσιομεδίμνους καλουμένους, οὓς διὰ τὸ γεωργεῖν τοσαῦτα μέτρα οὕτως ὠνόμαζον, καὶ τοὺς ἱππέας καὶ τοὺς θῆτας. οἱ μὲν οὖν πεντακοσιομέδιμνοι ἦσαν εὔποροι, οἱ δὲ ἱππεῖς ἧττον μὲν τῶν πεντακοσιομεδίμνων, μέχρι δὲ τῶν τριακοσίων ἐγεώργουν μέτρων. ἱππεῖς δὲ αὐτοὺς ὠνόμαζον διὰ τὸ δύνασθαι, εἴ ποτε αὐτοῖς χρεία γένοιτο ἵππων, ἕκαστον αὐτῶν τρέφειν. ἦσαν δὲ τὸ μὲν πρότερον ἑξακόσιοι τὸν ἀριθμόν. οὗτοι δὲ μετὰ ταῦτα τῆς πόλεως πληθυνθείσης ἐγένοντο διακόσιοι πρὸς τοῖς χιλίοις.

book 627b ὅθεν καὶ τὰς θυσίας, ἃς αὐτοὶ πέμποιεν ἐν ταῖς πομπαῖς, ἐκάλουν ἱππάδας. ἐξῆν δὲ αὐτοῖς καὶ κομᾶν. ἡ δὲ τρίτη τάξις ἦσαν οἱ θῆτες παρ’ αὐτοῖς, οἷς οὐδὲ ἄρχειν ἐφεῖτο ἢ δικάζειν καὶ ἐκκλησιάζειν μόνον, ἵν’ ἔκ τε τοῦ δικαστικοῦ καὶ ἐκκλησιαστικοῦ τρέφοιντο. VEΓΘMLh

book 627c ἤρειδε] ἠφίει. Lh

book 628a κρημνοὺς ἐρείδων: ἐπιπέμπων καὶ ἀκοντίζων, τουτέστιν ἐγκλήματα ὑπέρογκα καὶ διαβολὰς χαλεπωτάτας ῥίπτων καὶ λογοποιῶν κατὰ τῶν ἱππέων. ἀπὸ δὲ τοῦ “ἐλασίβροντα” καὶ τοῦτο εἴληφε τὸ ῥῆμα ἐχόμενον τοῦ ὄγκου τοῦ προειρημένου. κρημνοὶ δέ εἰσι τὰ μέρη τὰ ἀπὸ τῶν ὀρῶν ἀποσπώμενα. VEΓ3Θ

book 628b κρημνοὶ λέγονται τὰ μέρη τὰ ἀπὸ τῶν ὀρῶν ἀποσπώμενα· ἐγκλήματα ὑπέρογκα καὶ διαβολὰς χαλεπωτάτας ῥίπτων. M

book 628c κρημνοὺς ἐρείδων] ὑπέρογκα ἐγκλήματα καὶ διαβολὰς λέγων χαλεπωτάτας. Lh

book 629a πιθανώτατα: ἐγγὺς πίστεως καὶ ἀληθείας ἐχόμενα πλάττει, ἐπιφέρων αὐτοῖς ἐγκλήματα. VEΓ3Lh

book 629b ἀκρωμένη] ἀκούουσα. Lh

book 630a ψευδατραφάξυος 〈πλέα〉: πλήρης ψευσμάτων. ἀτράφαξυς δὲ εἶδος λαχάνου, ὃ ταχέως εἰς μέγεθος αὔξεται. ἐπεὶ οὖν ὁ Κλέων ψευδῆ κατὰ τῶν ἱππέων κατηγόρησε, καὶ ἡ βουλὴ πείθεσθαι ἐδόκει, ψευδατραφάξυος εἶπε πλέαν τὴν βουλὴν γεγονέναι, διαβάλλων μὲν ὡς ψεύστην τὸν Κλέωνα, τῆς δὲ βουλῆς καθαπτόμενος, ὡς τοῖς ψευδομένοις καὶ διαβάλλουσι πειθομένης εὐχερῶς καὶ ῥᾳδίως, ὥσπερ καὶ τὸ λάχανον αὔξεται. VEΓ3ΘM

book 630b διὰ τοῦ ἀτραφύξιος λαχάνου διαβάλλει τὸν Κλέωνα ὡς ψεύστην. καθάπτεται δὲ καὶ τῆς βουλῆς ὡς τοῖς ψευδομένοις καὶ διαβάλλουσιν εὐχερῶς πειθομένης, ὡς καὶ τὸ λάχανον ῥᾳδίως αὔξεται. Lh

book 630c ψευδατραφύξιος πλέα] πλήρης ψευσμάτων· ἀτράφυξις δὲ εἶδος λαχάνου. Lh

book 631a

κἄβλεψε νᾶπυ: καὶ ἀνέβλεψε δριμὺ καὶ ὀργίλον. ἀπὸ τῆς ψευδατραφάξυος ἑξῆς εἶπε τὸ “νᾶπυ”· λαχάνου γὰρ καὶ τοῦτο εἶδος. ἔστι δὲ δριμὺ τὴν φύσιν· ἀφ’ οὗ σπέρματος τὸ νῦν λεγόμενον σίνηπι γίγνεται ⟦νᾶπυ γὰρ τὸ σίνηπι λέγεται⟧. VΕΓΘΜ

book 631b τὰ μέτωπ’ ἀνέσπασε: συνέστειλε τὰς ὀφρῦς· καὶ τοῦτο δεῖγμα ὀργῆς. VΕΓ3ΜLh

book 631c νᾶπυ] δριμὺ καὶ ὀργίλον. Lh

book 633a φενακισμοῖσιν] ἀπατήμασι. φενάκη γάρ ἐστι προσθετὴ κόμη. VΕΓ3

book 633b φενακισμοῖσιν] ἀπατήμασι. Lh

book 634a (I) ἄγε δὴ Σκίταλοι: ὠνοματοποίησε δαίμονάς τινας ἀναπλάσας ἀναιδεῖς. οὐκ ὄντας γὰρ θεοὺς ἐπὶ χλεύῃ ἀσυνέτως προφέρεται, τὰ ὀνόματα λέγων ὡς θεῶν. VΕΓΘΜ (II) ἄλλως: οἷον προτρεπόμενος καὶ ἐπιθαρσύνων αὐτὸν εἰς ἀναίδειαν καὶ εὐτολμίαν ἀνέπλασε θεοὺς ἐπὶ χλεύῃ, οἷς ηὔξατο ἀρξάμενος τοῦ λέγειν. Σκίταλοι μὲν οὖν οἱ εὐτελεῖς καὶ πονηροί· ἦν γὰρ Σκίτων κναφεύς τις εὐτελής, ἐπὶ πονηρίᾳ κωμῳδούμενος. Βερέσχεθοι δὲ οἱ ἀνόητοι· πέπλασται δὲ ἡ λέξις. Κοάλεμοι δὲ οἱ 〈ἀνόητα κοοῦντεσ〉 καὶ νοοῦντες. Μόθων δὲ ὁ εὐτελής. μόθωνας γὰρ ἐκάλουν οἱ Λάκωνες τοὺς παρεπομένους τοῖς ἐλευθέροις· ἔστι δὲ καὶ γένος ὀρχήσεως. VΕΓ3ΘΜLh (III) ἄλλως: πρὸς τὴν ἐπωνυμίαν οὐκ ὄντας θεοὺς ἐπὶ χλεύῃ προφέρεται· ὥσπερ δὲ παραστάτας ἀνθρώπων πονηρῶν καὶ παρέδρους τούτους ἐπεκαλεῖτο θεούς· οὐδεὶς δὲ αὐτῶν ἡρμήνευσε τὰ ὀνόματα. VΕΓΘ

book 634b ἦν δ’ ἐγώ: ἔφην ἐγώ. Ἀττικὴ δὲ ἡ λέξις καὶ ἡ σύνταξις. μάλιστα δὲ αὐτῇ συνεχῶς κέχρηται καὶ κατακόρως ὁ Πλάτων. VΕΓ3ΘLh

book 634c totus versus] ὀνοματοποιεῖ δαίμονάς τινας. Lh

book 635 Βερέσχεθοί τε καὶ Κόβαλοι] ἀνόητοι καὶ εὐτελεῖς. Lh

book 636a ἀγορά τ’ ἐν ᾗ παῖς ὤν: τά τε ἄλλα, φησί, παρεκελευόμην καὶ τῆς ἀνατροφῆς ἀνεμιμνησκόμην, ὅτε ἐν τῇ ἀγορᾷ τραφείην, καὶ τὰ ἐκ παιδὸς ἀνεκαλούμην ἐπιτηδεύματα συλλαβέσθαι μοι εἰς τὸν ἀγῶνα τὸν πρὸς Κλέωνα. VΕΓ3Θ

book 636b ἀγορά] ἤγουν τὰ ἐν ἀγορᾷ ἐκ παιδὸς ἀνεκαλούμην ἐπιτηδεύματα συλλαβέσθαι μοι εἰς τὸν ἀγῶνα τὸν πρὸς Κλέωνα. Lh

book 638 φροντίζοντί μοι: εὐχομένῳ καὶ μεριμνῶντι. VΕΓ3

book 639a ἀπέπαρδεν: οὕτως Ἀττικοὶ τὸ πορδὴν ἀφεῖναι. παρείληφε δὲ τοῦτο γέλωτος χάριν. καταπύγων δὲ εὐρύπρωκτος. VΕΓΘ

book 639b ἀπέπαρδεν] οὕτως τὸ πορδὴν ἀφεῖναι λέγουσιν Ἀττικοί. Lh

book 639c καταπύγων] εὐρύπρωκτος. Lh

book 640a προσέκυσα: προσεκύνησα, ὥσπερ σημείου τινὸς δοθέντος. ἰστέον μέντοι ὅτι γέλωτος χάριν προσήνεγκε ταῦτα. VΓΘΜLh

book 640b θενὼν] τύπτων. Lh

book 641a τὴν κιγκλίδ’: τὴν θύραν, τὸ κάγκελον τοῦ δικαστηρίου. ἰδίως δὲ τὰς διπλᾶς θύρας οὕτω κλητέον, ἅς τινες δικλίδας φασίν. ἢ κιγκλὶς ἰδίως ἡ τρύπη, δι’ ἧς ἡ κλεὶς πέμπεται. VΕΓΘΜ

book 641b ἐξάραξα: ἀνέῳξα. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· θαρρήσας, φησί, τῷ δοθέντι σημείῳ, διάρας τὸ στόμα καὶ τὴν ἀγωνίαν ἀποβαλών, ⟦ὥσπερ τὸ στόμ’ ἀνοίξας⟧ ἀνέκραγον. VΕΓΘΜ

book 641c τὴν κιγκλίδ’] τὸ κάγκελον τοῦ δικαστηρίου. Lh

book 641d ἐξάραξα] ἀνέῳξα. Lh

book 641e ἀναχανὼν] διάρας τὸ στόμα· παίζων πρὸς τὸ “ἐπέπαρδε” λέγει τὸ “ἀναχανών”. Lh

book 641f

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αἱ τοῦ δικαστηρίου θύραι ἐπικειμένας εἶχον ἔξωθεν ἑτέρας, οὐ διὰ συμφυῶν σανίδων ἀλλ’ ἐκ κιγκλίδων συγκειμένας, ἵνα διαφανεῖς οὖσαι καὶ διῃρημέναι εἰς πλείους ὀπὰς ἀκωλύτως ὁρᾶν παρέχοιεν τοῖς ἐκτὸς ἐπὶ τὰ ἔνδον. Lh

book 642a ἀνέκραγον] ἐβόησα. Lh

book 643 εὐαγγελίσασθαι] εὐαγγέλια λέγειν, Ἀττικῶς. ΕΓ3

book 644a ὁ πόλεμος] ὁ Πελοποννησιακὸς δηλονότι. VΕΓ3Lh

book 644b κατερράγη] συνέπεσεν. ΕΓ3Lh

book 645a ἀφύας: εἶδος λεπτῶν ἰχθύων ἄγαν. σφόδρα δὲ καὶ μέχρι νῦν παρὰ τοῖς Ἀθηναίοις σπουδάζεται. VΕΓ3Μ

book 645b ἀξιωτέρας: τουτέστιν εὐωνοτέρας τῆς ἀξίας τιμῆς· ἄξιον γὰρ παρ’ Ἀττικοῖς τὸ εὔωνον. VΕΓΘΜ

book 645c ἀφύας] εἶδος ἰχθύων λεπτῶν ἄγαν. Lh

book 645d ἀξιωτέρας] εὐωνοτέρας τοῦ ἀξίου τιμήματος. σφόδρα καὶ νῦν αἱ ἀφύαι παρ’ Ἀθηναίοις σπουδάζονται. Lh

book 646a διεγαλήνισεν: προσηνῆ καὶ πρᾷα καὶ ἥμερα ἐγένοντο, τουτέστιν ἐκ τῆς ὀργῆς μετέβαλε καὶ μετηλλάγη. ἀπὸ δὲ τῶν ἀφύων κυρίως τῷ “διεγαλήνισεν” ἐχρήσατο, ὅτι ἐμπείρως οἱ Ἀθηναῖοι εἶχον τῆς ναυτικῆς. σκώπτει δὲ αὐτοὺς ὡς μικροῖς δελεαζομένους λήμμασιν. VΕΓΘΜ

book 646b τῷ δὲ “διεγαλήνισεν” ἐχρήσατο κυρίως ἐπὶ τῶν ἀφύων. σκώπτει δὲ τοὺς Ἀθηναίους ὡς μικροῖς δελεαζομένους λήμμασιν. Μ

book 646c διεγαλήνισεν] προσηνῆ καὶ ἥμερα ἐγένετο, ἤγουν τῆς ὀργῆς μετέβαλεν. Lh

book 646d ἀπὸ τῶν ἀφύων τῷ “διεγαλήνισεν” ἐχρήσατο, ὅτι ἐμπείρως εἶχον οἱ Ἀθηναῖοι τῆς ναυτικῆς. σκώπτει δὲ αὐτοὺς ὡς μικροῖς δελεαζομένους λήμμασι, καὶ διὰ μικρὰν ἀγγελίαν εὐθὺς μεταβαλλομένους τῆς ὀργῆς καὶ στεφανοῦντας τὸν ἀπαγγείλαντα. Lh

book 647a ἐστεφάνουν μ’ εὐαγγέλια: τοὺς εὐαγγελιζομένους τι ἀγαθὸν στεφάνοις ἐτίμων. VΕΓΘΜLh

book 647b εὐαγγέλια] ἤγουν ἕνεκα τῆς ἀγγελίας. Lh

book 648a ἀπόρρητον: τὸ ἐν μυστηρίῳ λεγόμενον, οἷον τὸ κεκρυμμένον καὶ ἄγνωστον αὐτοῖς ὑποθέμενος, ἵν’ ἔχοιεν καὶ ποῦ ἀγοράσαιεν. VΕΓΓ3Θ

book 648b ἀπόρρητον] μυστήριον ἄγνωστον αὐτοῖς ὑποθέμενος ἵνα ἔχοιεν καὶ ποῦ ἀγοράσαιεν. Lh

book 649a ἵνα] ὅπου. Lh

book 649b τοὐβολοῦ] τοῦ ὀβολοῦ. Lh

book 650a τῶν δημιουργῶν: τῶν σκευοποιῶν, τῶν κεράμεων. δημιουργοὺς δὲ ἐκάλουν καὶ τὰς νῦν λεγομένας ὑπονυμφίδας ⟦, τουτέστι τὴν παρεστῶσαν τῇ νύμφῃ γυναῖκα⟧. ὅθεν ἐστὶ καὶ Μενάνδρῳ Δημιουργός. VΕΓΘΜLh

book 650b τρύβλια] ὀξύβαφα. ΕΓ3Lh

book 651a ἀνεκρότησαν: ἥσθησαν καὶ ἐκρότησαν· δείγματα δὲ χαρᾶς. “ἐκεχήνεσαν” δὲ ἀντὶ τοῦ ἔβλεπον ἢ ἐμοὶ προσεῖχον. VΕΓΘ

book 651b ἀνεκρότησαν] ἥδοντο καὶ ἐκρότουν τὰς χεῖρας. Lh

book 651c ἐκεχήνεσαν] ἀντὶ τοῦ ἔβλεπον εἰς ἐμὲ ἀτενῶς καὶ προσεῖχον τὸν νοῦν. Lh

book 652 ὑπονοήσας] ὑποπτεύσας ἢ κατανοήσας τότε καὶ προϊδών. VΕΓ3Lh

book 655a ἐπὶ συμφοραῖς ἀγαθαῖσι: ἐπὶ ἀγαθοῖς πράγμασι· μέσον δὲ ὄνομα ἡ συμφορά. δηλοῖ γὰρ καὶ τὸ καλὸν καὶ τὸ κακόν, ἐκ τῆς προσθήκης τοῦ ἐπιφερομένου. ὥσπερ οὖν καὶ νῦν προσθεὶς “ἐπ’ ἀγαθαῖσιν” οὐκ ἀφῆκεν ἐπὶ τοῦ πονηροῦ νοεῖσθαι. VΕΓΘ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 655b ἐπὶ συμφοραῖς ἀγαθαῖσιν] ἐπ’ ἀγαθοῖς πράγμασι. Lh

book 655c μέσον ἐστὶ τὸ ὄνομα τῆς συμφορᾶς, ποτὲ μὲν ἐπ’ ἀγαθοῦ ποτὲ δὲ ἐπὶ κακοῦ λαμβανομένης, ὥσπερ καὶ νῦν προσθεὶς τὸ “ἐπ’ ἀγαθαῖς” οὐκ ἀφῆκεν ἐπὶ πονηροῦ νοεῖσθαι. Lh

book 656a εὐαγγέλια] χάριν τῶν εὐαγγελιῶν. Γ2

book 656b τῇ θεῷ] Ἀττικόν. Γ2

book 658a (I) τοῖς βολίτοις ἡττημένος: ταῖς τῶν βοῶν ἐπαγγελίαις ὅτε ἔγνων ἡττηθείς. βολίτοις δὲ τοῖς σπελέθοις. βόλιτοι γὰρ οἱ σπέλεθοι τῶν βοῶν. VΕΓΘΜ (II) ἄλλως: τοῖς βοϊδίοις. ἡ γὰρ τοῦ βοὸς κοιλία βολίτους ἔχει. λέγει δὲ φαύλοις εἴδεσιν ἐν αὐτοῖς ἡττώμενος. VΕΓ3ΘΜ

book 658b ἔγνων] ᾐσθόμην. Γ2

book 658c βολίτοις ἡττημένος] φαύλοις ἡττημένος, ἤγουν ταῖς τῶν βοῶν ἐπαγγελίαις. “βολίτοις” δὲ εἶπεν, ἤγουν τοῖς τῶν βοῶν σπελέθοις. Lh

book 659a διηκοσίοισι] διακοσίοις. Lh

book 659b ὑπερηκόντισα] ὑπερέβαλον. ΕΓ3

book 659c ὑπερηκόντισα] ἐνίκησα, ἐκ μεταφορᾶς τῶν τοῖς ἀκοντίοις νικώντων. Lh

book 660a (I) τῇ δ’ Ἀγροτέρᾳ: τῇ Ἀρτεμίδι. ἰδίως γὰρ οἱ Ἀθηναῖοι σέβουσι καὶ τιμῶσι τὴν Ἀγροτέραν Ἄρτεμιν. VΕΓΘΜLh (II) ἄλλως: ἐξ ἱστορίας. Καλλίμαχος ὁ πολέμαρχος λέγεται εὔξασθαι τῇ Ἀρτεμίδι τοσαύτας βοῦς θῦσαι, ὅσους ἂν φονεύσῃ βαρβάρους ἐν Μαραθῶνι. ἐπειδὴ δὲ πολλοὶ ἐφονεύθησαν, μὴ δυνάμενος τοσαύτας βοῦς θῦσαι, ἔθυσε χιμαίρας. VΕΓ3ΘΜLh

book 660b παρῄνεσα] συνεβούλευσα, εἰσηγησάμην Ἀθηναίοις. τὸ δὲ “χιλιῶν” περισπῶσι. VΕΓ3

book 661 χιμάρων] αἰγῶν. Lh

book 662a αἱ τριχίδες: εἶδος ἰχθύων, ἃς θρίσσας καλοῦμεν. VΕΓ3

book 662b γενοίαθ’] γένοιτο. Γ2

book 662c τριχίδες] θρίσσαι. Lh

book 663 ἐκαραδόκησεν: ἀντὶ τοῦ ἀπέβλεψεν, ἢ ἐμοὶ προσέθεντο τὴν κεφαλὴν μετεωρίσαντες. παρ’ Ὁμήρῳ “καί τ’ Ὠρίωνα δοκεύει”. VΕΓΘΜLh

book 664 ἐφληνάφα] ἐφλυάρει, ἐξηυτέλιζε. ΕΓ3Lh

book 665a κᾆθ’ εἷλκον αὐτὸν: εἶτα εἷλκον αὐτὸν καὶ ἐξώθουν τῆς βουλῆς. VΕΓ3Μ

book 665b οἱ πρυτάνεις: οἱ προεστῶτες τῆς σιτήσεως καὶ τοῦ δήμου ἄρχοντες. 〈τοξόται δὲ〉 οἱ ὑπηρέται. VΕΓΘΜLh

book 665c εἷλκον] ἐξώθουν τῆς βουλῆς. Lh

book 666a ἐθορύβουν] θόρυβον ἐποιοῦντο. Γ2

book 666b περὶ] ἕνεκεν. Γ2

book 667a ὁ δ’] ὁ Κλέων. Γ2

book 667b ἠντιβόλει: ἱκέτευεν, ἐδεῖτο, ἐλιπάρει. ΕΓ3ΜLh

book 668a ἵν’ ἅτθ’ ὁ κῆρυξ: ταῦτα εἰς τὴν ἀπάτην τοῦ Κλέωνος τὴν εἰς τὸν δῆμον. ἐξ ἱστορίας δὲ τοῦτο· Λακεδαιμονίους γὰρ περὶ εἰρήνης πρεσβευομένους οὐκ ἐδέξαντο Κλέωνος κωλύσαντος. VΕΓΘΜLh

book 668b ἅτθ’] ἅττα. Lh

book 669 σπονδῶν] φιλιῶν. Γ2

book 670 ἐξ ἑνὸς στόματος: ὁμοθυμαδὸν καὶ μιᾷ φωνῇ. VΕΓ3Lh

book 671 ὦ μέλε: πρόσφθεγμα Ἀττικόν, ἀντὶ τοῦ ὦ κάκιστε ἢ κακοδαιμονέστατε ἢ οἰκτρότατε· παρέλκει δὲ τὸ "ὦ μέλε". VEΓΘMLh

book 672a ᾔσθοντο] ἐπύθοντο, ἔμαθον, ἔγνωσαν. VEΓ3Lh

book 672b ἀξίας] εὐώνους. EΓ2Lh

book 673a ὁ πόλεμος ἑρπέτω: γράφεται ἐρρέτω, τουτέστι χαιρέτω, ὅ ἐστιν, οὐδεμίαν φροντίδα τοῦ πολέμου ποιούμεθα. VEΓΘMLh

book 673b οὐ δεόμεθα] οὐ χρῄζομεν οὐδὲ ἐφιέμεθα. EΓ3Lh

book 675a ὑπερεπήδων: καὶ εὐθὺς ὑπερήλλοντο καὶ ὑπερεπήδων, τουτέστι δρομαῖοι ἠπείγοντο. διὰ δὲ τῆς σπουδῆς τὴν λιχνείαν ἐνδείκνυσιν αὐτῶν. VEΓΘM

book 675b τοὺς δρυφάκτους: τὰ νῦν ταβλώματα καλούμενα, τὰ τῶν οἰκοδομημάτων ἐξέχοντα ξύλα. ἢ τὰ κάγκελα, δρυόφρακτός τις ὤν, τουτέστιν ὁ ἐκ δρυῶν φραγμός. οἱ γὰρ ἀρχαῖοι πᾶν δένδρον δρῦν ἐκάλουν, ὥσπερ καὶ ἀκρόδρυα τὰ ἄκρα τῶν δένδρων. VEΓΘM

book 675c δρυφάκτους] τὰ νῦν περιφράγματα. VEΓ3

book 675d ὑπερεπήδων] ὑπερήδοντο καὶ δρομαῖοι ἠπείγοντο. διὰ δὲ τῆς σπουδῆς τὴν λιχνείαν ἐνδείκνυσιν αὐτῶν. Lh

book 676a κορίανν': εἶδος βοτάνης, τὸ νῦν κολίανδρον λεγόμενον κοινῶς. VEΓ2M

book 676b ὑποδραμών] προλαβών, προφθάσας. EΓ3

book 676c κορίανν'] τὸ κοινῶς κολίανδρον. Lh

book 677a γήτεια: εἶδος λαχάνου ἀγρίου, παρεοικὸς τοῖς λευκοῖς πράσοις. καὶ τοῦτο ἥδυσμα ὡς τὸ ἀμπελόπρασον. VEΓ2MLh

book 677b τῇ ἀγορᾷ] συνίζησις. Lh

book 678 ἐδίδουν ἡδύσματα: ἀρτύματα, φησίν, αὐτοῖς ἐχαριζόμην. οἰκείως δὲ ὡς μάγειρος ἐδίδου τὰ ἀρτύματα. VEΓΘM

book 680a ὑπερεπυππάζοντό με: γράφεται καὶ "ὑπερεπλήσσοντό με", οἷον κατεπλήσσοντό με καὶ τὴν φιλοτιμίαν ἐθαύμαζον τὴν ἐμήν. διασύρει δὲ αὐτοὺς ὡς μικροθαυμάστους καὶ τάχεως ἀπατωμένους ὀλίγῳ λήμματι. VEΓΘM

book 680b ὑπερεπύππαζον: πύππαξ ἐπεφώνουν, ὃ ἡμεῖς ποππύζειν λέγομεν. VV2EΓΘMLh

book 680c totus versus] διασύρει αὐτοὺς ὡς μικροθαυμάστους καὶ τάχεως ἀπατωμένους ὀλίγοις λήμμασιν. Lh

book 680d ὑπερεπῄνουν] ὑπερεθαύμαζον καὶ κατεπλήττοντο τὴν ἐμὴν φιλοτιμίαν. Lh

book 682a ἀναλαβών: συναρπάσας, κουφίσας, μετεωρίσας, τουτέστιν εἰς ἐμαυτὸν τῇ εὐνοίᾳ πείσας ῥέπειν. ἱκανῶς δὲ ἐκωμῴδησε τοὺς Ἀθηναίους. VEΓΘMLh

book 682b κοριάννοις] ἤγουν κολιάνδρῳ. Lh

book 683a δύο διπλαῖ, ὅτι ἕπεται ἡ ἀντίστροφος τῆς προαποδεδομένης. VEΓ3

book 683b (ad vv. 683—90) πάντα δὴ πέπραγας: ἡ τῆς προτέρας στροφῆς ἀντίστροφος αὕτη, τοῦ χοροῦ εἴσθεσις ἐκ κώλων καὶ στίχων ἐστὶν ὁμοίων ἐκείνῃ η′, ὧν τελευταῖος "–νους ἐπίστασαι πάλαι". ἐπὶ τῷ τέλει δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος, ἀμφότεραι ἔξω νενευκυῖαι. Lh

book 683c χρὴ] δρᾶν δηλονότι. Γ2

book 683d διὰ τούτων καθάπτεται καὶ τοῦ Κλέωνος ὡς πονηροῦ καὶ πανούργου καὶ πάλιν τοῦ ἀλλαντοπώλου, ὡς πανουργοτέρου καὶ πονηροτέρου. Lh

book 684a ὁ πανοῦργος] ὁ Κλέων. ΕΓ3Lh

book 684b ἕτερον] τὸν ἀλλαντοπώλην. ΕΓ3Lh

book 684c ἕτερον] δηλονότι πανοῦργον. Γ2

book 685 κεκασμένον] ἤγουν κεκοσμημένον. VΕΓ3Lh

book 686 ποικίλοις] πολλοῖς καὶ διαφόροις. VΕΓ2Lh

book 687 αἱμύλοις] τοῖς προσήνεσι καὶ ἐπαγωγοῖς· ἢ τοῖς ἀπατητικοῖς. VΕΓ2Γ3Lh

book 691a (ad vv. 691—755) διπλῆ καὶ ἔκθεσις εἰς ἰάμβους τριμέτρους ἀκαταλήκτους ξε′. VΕΓ3

book 691b (ad vv. 691—755) καὶ μὴν ὁ Παφλαγών: κορωνὶς ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ξε′, ὧν τελευταῖος "κέχηνεν ὥσπερ ἐμποδίζων ἰσχάδας". ἐπὶ τῷ τέλει κορωνίς. Lh

book 692a (I) κολόκυμα: τὸ κολοβὸν κῦμα, ὅπερ τυφλὸν διὰ τὸ μὴ καχλάζειν λέγουσιν. ἢ τὸ κυλῖον καὶ ἐπιφέρον. ὑψηλὸν κῦμα καὶ μέγα ἀπὸ τοῦ κορυφοῦσθαι κυλιόμενον. τοῦτο δὲ ὡς πρὸς ἄνεμον. VΕΓ2ΘΜ (II) ἄλλως: ὅπερ τινὲς κωφὸν καλοῦσι, τὸ μὴ ἐπηχοῦν μηδὲ καχλάζον. πρὸς τὴν προειρημένην δὲ ἀπειλὴν ὑπὸ τοῦ Κλέωνος ὅτι τὴν γῆν ταράξει καὶ τὴν θάλατταν ἀποτείνεται διασύρων αὐτόν, ὅτι μηδὲν ἔπραξεν ὧν προηπείλησεν, ἀλλ’ ἧττον ἔχων ἀπῆλθε τοῦ Ἀγορακρίτου. VΕΓ2ΘΜ

book 692b πρὸς τὴν εἰρημένην ἀπειλὴν ὑπὸ Κλέωνος, ὅτι τὴν γῆν ταράξει καὶ τὴν θάλασσαν ἀποτείνεται διασύρων αὐτὸν ὅτι μηδὲν ἔπραξεν ὧν προηπείλησεν, ἀλλὰ διελύθη ὥσπερ κωφὸν κῦμα, ἤγουν ἡττήθη τοῦ Ἀγορακρίτου. Lh

book 692c κολόκυμα] τὸ κολοβὸν κῦμα ὅπερ τυφλὸν καλοῦσι διὰ τὸ μὴ καχλάζειν. Lh

book 692d κυκῶν] ταράσσων ἐκ παραλλήλου. Lh

book 693a ὡς δὴ καταπιόμενός με: ὡς ἐπικαλύψων με τῷ κύματι, αἰσχρῶς μέλλων με καταπιεῖν. VΕΓ3ΜLh

book 693b μορμὼ τοῦ θράσους: τὸ μορμολυκεῖον, ἣν λέγουσι Λαμίαν. μορμολυκεῖα δὲ ἔλεγον τὰ φόβητρα. λείπει δὲ τὸ "ὡς", ὡς μορμώ. ἢ ἐπιρρηματικῶς συνεξενήνεκται, ὡς εἰ ἔλεγε, φεῦ τοῦ θράσους. VΕΓΘΜ

book 693c καταπιόμενος] μέλλων καταπίεσθαι. Γ2

book 693d μορμὼ τοῦ θράσους] ἤγουν φεῦ τοῦ θράσους. ἀπὸ τῆς μορμοῦς ἣν λέγουσι Λαμίαν. καὶ μορμολυκεῖα φασὶ τὰ φοβερά. Lh

book 694a (I) εἰ μή σ’ ἀπολέσαιμι: οἷον διαμαρτήσαιμι τῆς ἐλπίδος, εἴ σε μὴ ἀπολέσαιμι, εἴ τι τῶν ἐμῶν ὑποκρίναιο ψευσμάτων. ἐπειδὴ ψευδόμενος καὶ ἀνθυπισχνούμενος ἔδοξεν αὐτὸν ὁ ἀλλαντοπώλης παρευδοκιμεῖν. VΕΓΘΜ (II) ἄλλως: εἴ τι τῶν ἐνόντων μοι ψευδῶν σῴζεται, ⟦εἰ μὴ ἀπολώλεκα τὸ ψεύδεσθαι⟧ διαμάρτοιμι καὶ διαπέσοιμι πανταχοῦ, εἰ μή σε ἐξ ἀνθρώπων ποιήσαιμι. VΕΓΘ

book 694b ἀπολέσαιμ’] οἷον ποιήσαιμι διαμαρτεῖν τῆς ἐλπίδος· ἤγουν εἰ μὴ ἀπολώλεκα τὸ ψεῦδος. Lh

book 695a διαπέσοιμι] οἷον μηκέτι εἴην συκοφάντης. ΕΓ3ΜLh

book 695b διαπέσοιμι] σοὶ δηλονότι. Γ2

book 695c ἐνείη] ἔνεστι. Lh

book 696a ἥσθην ἀπειλαῖς: εὐφράνθην σου ταῖς ἀπειλαῖς, τουτέστι καταφρονῶ σου τῶν ἀπειλῶν καὶ παρ’ οὐδὲν αὐτὰς τίθεμαι. VΕΓΘLh

book 696b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ψολοκομπίαις: αἰθαλοκομπίαις, μεγαλοδοξίαις, ψευδολογίαις, μεγαληγορίαις, καπνοῖς. ἀπὸ δὲ τῶν προειρημένων ὀνομάτων ἔπαιξεν, ἀπὸ τοῦ βροντᾶν καὶ ταράττειν τὴν γῆν καὶ τὴν θάλατταν, καὶ κρημνοὺς ἐρείδειν, ἃ μόνου τοῦ Διός εἰσιν ἔργα. ἐκ τῶν τοιούτων οὖν ἡ προσηγορία διὰ τὸ κεραυνοῖς χρῆσθαι δοκεῖν. τῶν γὰρ κεραυνῶν οἱ μὲν καταιβάται, οἱ δὲ ψολόεντες, οἱ δὲ ἀργῆτες καλοῦνται, ὡς Ὅμηρος ὠνόμασεν. VΕΓΘΜ

book 696c ψολοκομπίαις] αἰθαλοκομπίαις, μεγαλοδοξίαις, ψευδολογίαις. Lh

book 696d ἀπὸ τῶν προειρημένων ὀνομάτων τοῦ βροντᾶν καὶ ταράττειν τὴν γῆν καὶ τὴν θάλατταν καὶ κρημνοὺς ἐρείδειν, ἃ μόνου τοῦ Διός εἰσιν ἔργα, ἔπαιξε “ψολοκομπίαις” εἰπών, ἤγουν αὐθαδοκομπίαις καὶ ψευδολογίαις. τῶν γὰρ κεραυνῶν οἱ μὲν καταιβάται, οἱ δὲ ψολόεντες, οἱ δὲ ἀργῆτες καλοῦνται, ὡς Ὅμηρος ὠνόμασεν. Lh

book 697a ἀπεπυδάρισα: πυδαρίζειν ἐπὶ τοῦ ἅλλεσθαι. ἤτοι ποδαρίζειν καὶ πυδαρίζειν, ὡς ὄνομα καὶ ὄνυμα Αἰολικῶσ⟦, ἢ πυγαρίζειν, παρὰ τὴν πυγήν, καὶ τροπῇ πυδαρίζειν, ὡς γνόφος καὶ δνόφοσ⟧. δηλοῖ δὲ καὶ τὸ λακτίζειν, ὡς τὸ “ἀπεπυδάρισα μόθωνα, περιεκόκκυσα” παρὰ τοὺς πόδας. VΕΜ

book 697b (I) μόθωνα: τὸν εἰρωνικὸν καὶ δόλιον, καὶ πανουργίᾳ προσφερόμενόν τινι. VΕΓΘΜ (II) ἄλλως: μόθων φορτικὸν ὀρχήσεως εἶδος. ἔλεγον δὲ τοὺς φορτικοὺς μόθωνας. VΕΓΘΜ

book 697c περιεκόκκυσα: περιεκορδάκισα· ἔστι δὲ εἶδος ὀρχήσεως. τινὲς δὲ τὸ μὲν “ἀπεπυδάρισα” ἀπέπαρδον. ἄλλοι δὲ ἀπεσκίρτησα καὶ ὠρχησάμην. τὸ δὲ “περιεκόκκυσα”, περιερόγχασα καὶ ὑπερεῖδον καὶ κατεφρόνησα. VΕΓ2Γ3Μ

book 697d ἀπεπυδάρισα] ἀπέπαρδον· δεῖ δὲ καὶ τῇ ἀληθείᾳ αὐτόν. Ε

book 697e μόθωνα] φλυαρόν, ὑβριστήν. Γ2

book 697f περιεκόκκυσα] ὑπερεῖδον, κατεφρόνησα, εἰς οὐδὲν ἡγησάμην. Γ2

book 697g ἀπεπυδάρισα] ἀπελάκτισα ἢ ἀπέπαρδον. ἵπποι γὰρ καὶ ὄνοι ἀποπηδῶντες καὶ λακτίζοντες ἀποπέρδουσιν. Lh

book 697h μόθωνα] εἰρωνικόν. Lh

book 697i μόθων ἐστὶ φορτικὸν ὀρχήσεως εἶδος. ἔλεγον δὲ καὶ τοὺς φορτικοὺς καὶ πανουργίᾳ προσφερομένους μόθωνας. Lh

book 698a οὔτοι μὰ τὴν Δήμητρα: πάτριος τῶν Ἀθηναίων ἡ Δημήτηρ, διὰ τὸ ξενισθῆναι παρὰ Κελεῷ, καὶ στῆναι τῆς πλάνης εὑροῦσαν τὴν κόρην ἐκ τῶν ὑποθηκῶν τῶν ἐκείνου, καὶ τῆς φιλοφροσύνης καὶ τῆς ξενίας ἀμοιβὴν ἀποδοῦναι τὰς ἡμέρους αὐτῷ τροφάς. VΕΓΘΜLh

book 698b ἐὰν μή ς’ ἐκφάγω: ἐὰν μή σε καταναλώσω καὶ ἐκβάλω ἐκ ταύτης τῆς γῆς καὶ διώξω. τὸ δὲ “ἐκφάγω” εἶπε διὰ τὸν τῆς Δήμητρος ὅρκον. VΕΓΘΜ

book 698c ἐκφάγω] καταναλώσω καὶ ἐκβάλω καὶ ἐκδιώξω. Lh

book 700a ἐκπίω: ἑξῆς πρὸς τὸ ὑπ’ ἐκείνου ῥηθὲν ἀποκρίνεται, τῷ ἐκφαγεῖν ἀντιτιθεὶς τὸ ἐκπιεῖν. ὡς γὰρ ἡ Δημήτηρ τὰς τροφάς, οὕτω Διόνυσος τὸν οἶνον Ἰκαρίῳ φιλοξενίας ἔδωκε δῶρον, ὅτι φιλοφρόνως αὐτὸν ὑπεδέξατο, τὴν ὕβριν φεύγοντα τοῦ Πένθεως. VΕΓΘΜLh

book 700b ἐκπίω] πρὸς τὸ ὑπ’ ἐκείνου ῥηθὲν ἀποκρίνεται τὸ ἐκπίω. Lh

book 701 κἀπεκροφήσας: πλέον τι προσέθηκεν ὑπερβολῇ τῆς ἀπειλῆς, τῷ ἐκπίω ἐπενεγκὼν τὸ ἐκροφήσας. VΕΓ3ΜLh

book 703 οἷον ὄψομαί ς’ ἐγώ: ἀντὶ τοῦ οἵως. Ὅμηρος “οἷον ἀναΐξας ἄφαρ οἴχεται”, ἀντὶ τοῦ οἵως. ὁ δὲ νοῦς, οἷον ὄψομαί σε ἀπὸ τῆς τιμῆς ἄτιμον γενόμενον. ἀπειλεῖ δὲ αὐτῷ ὡς ἀφαιρησόμενος

αὐτὸν τὴν προεδρίαν. τοῦτο δὲ ὡς ἀεὶ τοῦ Κλέωνος θρυλοῦντος τὰ περὶ Πύλον καὶ Σφακτηρίαν καὶ τοὺς αἰχμαλώτους. VEΓΘ

book 704a θεώμενον] βλεπόμενον. Γ2

book 704b ἔσχατον] ἤγουν ἀπὸ τῆς τιμῆς ἄτιμον γενόμενον. Lh

book 705 ἐν τῷ ξύλῳ] ἤγουν ἐν τῇ ποδοκάκκῃ. EΓ3Lh

book 706a ὀξύθυμος] θυμικὸς καὶ πρὸς ὀργὴν εὔκολος. EΓ3Lh

book 706b δῶ] παράσχω. Γ2

book 707a ἐπὶ βαλλαντίῳ: ἀντὶ τοῦ εἰπεῖν ἐπ' ἰχθύσι φάγοις ἄν, οἷον μετὰ ἰχθύων. ἢ ἀντὶ τοῦ εἰπεῖν "ἐπὶ τραπεζίῳ" πικρῶς εἶπεν "ἐπὶ βαλλαντίῳ", ἵνα διαβάλῃ ὡς κλέπτην καὶ τῶν δημοσίων ἅρπαγα. VEΓΘM

book 707b ἐπὶ βαλλαντίῳ] "ἐπὶ τραπεζίῳ" ὤφειλεν εἰπεῖν. Lh

book 707c ἀντὶ τοῦ εἰπεῖν "ἐπὶ τραπεζίῳ" πικρῶς "ἐπὶ βαλλαντίῳ" εἶπεν, ἵνα δηλώσῃ αὐτὸν ὡς κλέπτην καὶ ἅρπαγα τῶν δημοσίων. Lh

book 708a (I) ἐξαρπάσομαί σου τοῖς ὄνυξι τἄντερα: ἐκξύσω, διασπαράξω τοῖς ὄνυξιν. ἀπὸ τοῦ χρησμοῦ δὲ ἔπαιξεν. "βυρσαίετον" γὰρ ἐκεῖ προσεῖπε τὸν Κλέωνα, ὁ δὲ ἀετὸς τοῖς ὄνυξι μάλιστα ἄλκιμος. VEΓΘMLh (II) ἄλλως: πάλιν ὡς πρὸς μάγειρον ἀπέσκωψεν. διασπαράξας γάρ, φησίν, ἐξελῶ σου τὰ ἔντερα. VEΓΘM

book 709a ἀπονυχιῶ σου τἀν πρυτανείῳ σιτία: ἀφαιρήσομαί σου, φησί, τὴν σίτησιν, ἀποφράξω, ἀποκλείσω· ἀπὸ μεταφορᾶς τῶν ὀνυχιζομένων. VEΓΘM

book 709b ὡς μάγειρος πάλιν καὶ αὐτὸς ἀποκρίνεται, λέγων ἀφαιρήσομαί σου τὴν σίτησιν. Lh

book 710a ἕλξω σε πρὸς τὸν δῆμον: ἡττήθη γὰρ ἐν τῇ βουλῇ. παρεπιγραφὴ δέ· ποιεῖ γὰρ ὅπερ εἴρηκεν. VEΓΘM

book 710b ἕλξω] ἑλκύσω, ἀπάξω. EΓ3Lh

book 710c πρὸς τὸν δῆμον] ἡττήθη γὰρ ἐν τῇ βουλῇ. δεῖ νοεῖν ὅτι ἅμα τῷ λόγῳ εἷλκε τοῦτον. Lh

book 711 καὶ διαβαλῶ γε πλείονα: ἔφαμεν πολλάκις ὅτι τῷ διαβάλλειν μάλιστα ἴσχυεν ὁ Κλέων. εἰπὼν δὲ ὅτι σου "πλείονα διαβαλῶ", τὸ κἀκεῖνον, εἰ καὶ ἧττον, ὅμως γοῦν διαβάλλειν ἐνεδείξατο. VEΓΘMLh

book 713 καταγελῶ γ' ὅσον θέλω: πᾶσαν ἔχω τοῦ πείθειν αὐτὸν ἐξουσίαν, καὶ ὥσπερ ἐντρυφῶ τῷ δήμῳ. VEΓ3Lh

book 714a ὡς σφόδρα] ὡς ὑπεράγαν καὶ πάνυ. EΓ3

book 714b σεαυτοῦ νενόμικας] οἰκείως ἔχειν πρὸς σὲ ὑπολαμβάνεις. EΓ3Lh

book 714c ὡς σφόδρα] λίαν, πάνυ. Lh

book 715 οἷς ψωμίζεται: οἷς ἀπατᾶται, οἷς χαίρει. τὸ δὲ ψωμίζεσθαι ἐπὶ τῶν μικρῶν παιδίων λέγεται, ἃ ὑπόκειται τῇ τῶν διδόντων ἐξουσίᾳ. VEΓ3MLh

book 716a ὥσπερ αἱ τίτθαι: τίτθας καλοῦμεν τὰς τοῖς τιτθίοις καὶ τῷ γάλακτι τρεφούσας τὰ παιδία. ἐγγύθεν οὖν ἀπὸ τοῦ ψωμίζειν ἀπεκρίνατο λέγων, ὅτι κατὰ τὰς τίτθας καὶ σὺ τὸν δῆμον κακῶς τρέφεις. VEΓ3ΘMLh

book 716b ὥσπερ αἱ τίτθαι] τὴν τῶν τροφῶν ῥᾳδιουργίαν ἐξηγεῖται. EΓ3Lh

book 717a μασώμενος γάρ: ἐσθίων ἢ διαμασώμενος. ἐπέμεινε δὲ τῇ ὁμοιώσει. τὴν ῥᾳδιουργίαν ἐπεξηγούμενος τῶν τροφῶν ἀπὸ τοῦ συμβεβηκότος. αὗται γὰρ διὰ τὸ μὴ δύνασθαι πάσας τὰς τροφὰς δι' ὁλοκλήρου τὰ παιδία ἐσθίειν, αὗται λαμβάνουσαι καὶ διαμασώμεναι, οὕτω μετὰ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατεργάσασθαι τὰ ἐδέσματα ἐξαιροῦσαι τοῦ ἰδίου στόματος, ἐντιθέασι τοῖς τῶν παιδίων. εἶτα συμβαίνει τὰς ἀγνώμονας ὀλίγα μὲν διδόναι τοῖς παιδίοις, αὐτὰς δὲ κατεσθίειν τὰ πλείονα. κατὰ τὰς τίτθας οὖν, φησίν, ὁ Κλέων ὀλίγα τῷ δήμῳ χαριζόμενος, αὐτὸς πλείω κερδαίνει καὶ λαμβάνει. VEΓ3ΘM

book 717b τῷ μὲν] ἤγουν τῷ δήμῳ. Γ2

book 717c τὴν ῥᾳδιουργίαν ἐπεξηγούμενος τῶν τροφῶν, "ὥσπερ αἱ τίτθαι σιτίζεις" φησί. αὗται γὰρ διὰ τὸ μὴ δύνασθαι πᾶσαν τὴν τροφὴν δι' ὁλοκλήρου ἐσθίειν τὴν ὑπὸ τῶν γονέων τοῖς βρέφεσι διδομένην, λαμβάνουσαι καὶ διαμασώμεναι, οὕτως μετὰ τὸ κατεργάσασθαι τὰ ἐδέσματα βραχύ τι μέρος ἐξαιροῦσαι τοῦ ἰδίου στόματος ἐντιθέασι τοῖς στόμασι τῶν βρεφῶν. εἶτα συμβαίνει τὰς ἀγνώμονας ὀλίγα μὲν διδόναι τοῖς παιδίοις, αὐτὰς δὲ κατεσθίειν τὰ πλείονα. κατὰ τὰς τίτθας οὖν καὶ ὁ Κλέων ὀλίγα τῷ δήμῳ χαριζόμενος αὐτὸς τὰ πλείω λαμβάνει. Lh

book 717d ἐντίθης] δίδως. Lh

book 718a κατέσπακας: ἰδίως ἐπὶ τῶν θηλαζόντων βρεφῶν κατασπᾶν λέγουσι τὸ ἐπισπᾶν καὶ ἐφέλκειν τὸ γάλα. τῷ ὀνόματι οὖν ἀπὸ τῶν προειρημένων ἐχρήσατο. λέγει οὖν ὅτι τὸ πλεῖον κερδαίνεις αὐτὸς καὶ κατεσθίεις. VEΓΘM

book 718b κατέσπακας] κατέφαγες. Lh

book 719 δεξιότητος] ἐπιτηδειότητος. Lh

book 720 εὐρὺν καὶ στενόν] πλούσιον καὶ πένητα. EΓ3Lh

book 721a σοφίζεται: τεχνάζεται, ποιεῖ, τουτέστι ποτὲ μὲν πλατύνεται, ποτὲ δὲ συστέλλεται. ἰστέον δὲ ὅτι γελοίου χάριν παρέλαβε τοῦτο. VEΓ3M

book 721b σοφίζεται] τεχνάζεται, ποιεῖ. Lh

book 722a καθυβρίσαι] τινὲς εἰς τὸ καθυβρίσαι τιθέασι δύο διπλᾶς. EΓ3

book 722b οὐκ ὦγαθ' ἐν βουλῇ με δόξεις καθυβρίσαι: ἤγουν ἐν τῷ βουλευτηρίῳ. ἔδοξε γὰρ αὐτὸν παρευδοκιμεῖν ἐν τῇ βουλῇ. οὐ καταφρονήσεις οὖν μου, φησίν, ἐπὶ τῶν δημοτῶν ὥσπερ ἐν τῷ βουλευτηρίῳ. VEΓΘM

book 722c totus versus] ἤγουν οὐ καταφρονήσεις με ἐπὶ τῶν δημοτῶν ὡς ἐπὶ βουλευτηρίου. Lh

book 723a ἴωμεν] δεῦρο ἵνα ἀπέλθωμεν. Γ2

book 723b ἴωμεν] ἔλθωμεν· ἔδοξε γὰρ παρευδοκιμεῖν αὐτὸν ἐν τῇ βουλῇ. Lh

book 724a μηδὲν ἡμᾶς ἰσχέτω: μηδὲν ἡμᾶς ἐπισχέτω, μηδὲν ἐμπόδιον ἔστω. VE

book 724b ἰσχέτω] ἐμποδιζέτω. Γ2

book 725a ὦ Δῆμε, δεῦρ' ἔξελθε: ὁ Κλέων ἐστὶν ὁ λέγων. διὰ δὲ τῆς οἰκειότητος τῶν ὀνομάτων τὸν Δῆμον κολακεύει καὶ προσεταιρίζεται, τὸ "πάτερ" προσφωνῶν αὐτόν, ἵνα κἀκεῖνος ὡς περὶ παιδὸς φρονῇ. εἶτα ὁ ἀλλαντοπώλης "ἔξελθε δῆτ' ὦ Δημίδιον φίλτατον", καὶ αὐτὸς ἀντικολακεύων φησίν. VEΓΘ

book 725b ὦ πάτερ] κολακεύων τὸ "πάτερ" ὁ Κλέων εἶπεν. EΓ3

book 725c διὰ τῆς οἰκειότητος τῶν ὀνομάτων τὸν Δῆμον κολακεύει. τὸ δὲ "πάτερ" εἶπε, ἵνα κἀκεῖνος ὡς περὶ παιδὸς φρονῇ καὶ χαρίσηται αὐτῷ. Lh

book 726 Δημίδιον] καὶ αὐτὸς ἀντικολακεύων φησὶν ὑποκοριστικῶς. Lh

book 728 ἄπιτ'] ἀπέλθετε. Γ2

book 729a (I) τὴν εἰρεσιώνην μου: κλάδος ἐλαίας ἐρίοις περιπεπλεγμένος ⟦ἀναδεδεμένοσ⟧. ἐξήρτηντο δὲ αὐτοῦ ὡραῖα πάντα ἀκρόδρυα. πρὸ δὲ τῶν θυρῶν ἱστᾶσιν αὐτὴν εἰσέτι καὶ νῦν. ποιοῦσι δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦτο κατὰ παλαιόν τι χρηστήριον. οἱ μὲν γάρ φασιν ὅτι λιμοῦ, οἱ δὲ ὅτι καὶ λοιμοῦ τὴν πᾶσαν κατασχόντος οἰκουμένην, χρωμένων τίνα ἂν τρόπον παύσαιτο τὸ δεινόν, τὴν λύσιν ταύτην ὁ Πύθιος ἐμαντεύσατο, εἰ προηρόσιον ὑπὲρ ἁπάντων Ἀθηναῖοι θύσειαν. θυσάντων οὖν τῶν Ἀθηναίων τὸ δεινὸν ἐπαύσατο. καὶ οὕτως ὥσπερ χαριστήριον οἱ πανταχόθεν τοῖς Ἀθηναίοις ἐξέπεμπον τῶν καρπῶν ἁπάντων τὰς ἀπαρχάς. ὅτε δὴ καὶ Ἄβαρίν φασι τὸν Ὑπερβόρειον ἐλθόντα θεωρὸν εἰς τὴν Ἑλλάδα,

book 729a Ἀπόλλωνι θητεῦσαι καὶ οὕτω συγγράψαι τοὺς χρησμοὺς τοὺς νῦν ποσαγορευομένους Ἀβάριδος. ὅθεν εἰσέτι καὶ νῦν, ἐπειδὰν ἀνιστῶσι τὸν κλάδον, λέγουσι ταῦτα· εἰρεσιώνη σῦκα φέρει καὶ πίονας ἄρτους καὶ μέλι ἐν κοτύλῃ καὶ ἔλαιον ἀναψήσασθαι, καὶ κύλικ’ εὔζωρον, ὡς ἂν μεθύουσα καθεύδῃ. VEΓΘM (II) ἄλλως: Πυανεψίοις καὶ Θαργηλίοις Ἡλίῳ καὶ Ὥραις ἑορτάζουσιν Ἀθηναῖοι. φέρουσι δὲ οἱ παῖδες τούς τε θάλλους ἐρίοις περιειλημένους, ὅθεν εἰρεσιῶναι λέγονται, καὶ τούτους πρὸ τῶν θυρῶν κρεμῶσιν. ἐξήρτηντο δὲ τῶν θάλλων αἱ ὧραι. VEΓΘ

book 729b τὴν εἰρεσιώνην] τὰ στέμματά μου. EΓ3M

book 729c κατεσπαράξατε] ὤθουν γὰρ ἀλλήλους. EΓ3MLh

book 729d ἱστορία περὶ τῆς εἰρεσιώνης: Πυανεψιῶνι καὶ Θαργηλιῶνι μηνί, ἤτοι δεκεμβρίῳ καὶ ἰουλίῳ κατὰ Ῥωμαίους, Ἡλίῳ καὶ Ὥραις ἑορτάζουσιν Ἀθηναῖοι. φέρουσι δὲ οἱ παῖδες τότε θάλος ἐλαίας ἐρίοις περιπεπλεγμένον, ὅπερ εἰρεσιώνην ἐκάλουν. οἱ δέ φασιν ὅτι στεφάνοις περιεστέφοντο τοιούτοις, ἐξήρτηντο δὲ αὐτοῖς πάντα ὡραῖα ἀκρόδρυα, ὧν καὶ μετὰ τὴν θυσίαν πρὸ τῶν θυρῶν κρεμῶσι. ποιοῦσι δὲ τοῦτο κατὰ παλαιόν τινα χρησμόν. οἱ μὲν γάρ φασιν ὅτι λιμοῦ, οἱ δὲ ὅτι καὶ λοιμοῦ πᾶσαν κατασχόντος τὴν οἰκουμένην, χρωμένων τίνι ἂν τρόπῳ παύσαιτο τὸ δεινόν, τὴν λύσιν ταύτην ὁ Πύθιος ἐμαντεύσατο, εἰ προηρόσιον ὑπὲρ ἁπάντων Ἀθηναῖοι θύσειαν. θυσάντων οὖν

book 729d τὸ δεινὸν ἐπαύσατο. καὶ οὕτως ὥσπερ χαριστήριόν τι πανταχόθεν τοῖς Ἀθηναίοις ἐξέπεμπον πάντες ἄνθρωποι τῶν καρπῶν ἁπάντων τὰς ἀπαρχάς. ὅτε δὴ καὶ Ἄβαρίν φασι τὸν Ὑπερβόρειον ἐλθόντα ἐπὶ ἱστορίᾳ τῆς Ἑλλάδος Ἀπόλλωνι θητεῦσαι καὶ οὕτω συγγράψαι τοὺς χρησμοὺς τοὺς νῦν καλουμένους Ἀβάριδας. ὅθεν εἰσέτι καὶ νῦν ἐπειδὰν ἀντιστῶσι τὸν κλάδον λέγουσι ταῦτα·

book 729d εἰρεσιώνη σῦκα φέρει καὶ πίονας ἄρτους καὶ μέλι ἐν κοτύλῃ καὶ ἔλαιον ἀναψήσασθαι καὶ κύλικ’ εὔζωρον, ὡς ἂν μεθύουσα καθεύδῃ. Lh

book 729e τὴν εἰρεσιώνην] τὸν στέφανον. Lh

book 730 ὦ Παφλαγών] ὦ Κλέων. Lh

book 731a τουτουῒ] τοῦ ἀλλαντοπώλου. Γ2Lh

book 731b τῶν] ὑπό. Γ2

book 731c τουτουῒ] κοινή. Lh

book 731d τῶν νεανίσκων] τῶν ἱππέων. Lh

book 731e τιή] διατί. Lh

book 733a σὺ δ’ εἶ τίς: τῷ ἀλλαντοπώλῃ λέγει. VEΓ3

book 733b ἐτεόν] ἀληθές. EΓ3Lh

book 733c τουτουὶ] τοῦ Κλέωνος. Γ2

book 734 ἐρῶν] ἐφιέμενος. Γ2

book 735 totus versus] ἤγουν ἐρῶσί σε. Γ2

book 736a ἀλλ’ οὐχ οἷοί τ’ ἐσμέν: ἀλλ’ οὐ δυνάμεθα προσιέναι οὐδ’ εὖ ποιεῖν, κωλυόμενοι, φησίν, ὑπὸ τοῦ Κλέωνος. VΕΓ3MLh

book 736b οἷοί τ’] δυνατοί. Γ2

book 737 ἐρωμένοις] ἀγαπωμένοις. Γ2

book 739a λυχνοπώλῃσιν: δι’ Ὑπέρβολον. καὶ αὐτὸς γὰρ δημαγωγὸς ἦν λυχνοποιὸς ὤν. “νευρορράφοις” δέ φησι διὰ τὸν προβατοπώλην Λυσικλέα. VΕΓΘΜ

book 739b λυχνοπώλαισιν] διὰ τὸν Ὑπέρβολον λέγει, ὃς ἦν λυχνοποιός. Lh

book 739c νευρορράφοις] διὰ τὸν προβατοπώλην Λυσικλέα. Lh

book 740a σκυτοτόμοις καὶ βυρσοπώλαισι: Κλέωνι καὶ Λυσικλεῖ. ὀνειδίζει δὲ πάλιν Κλέωνι, ἀφ’ οἵας τέχνης ἄγει καὶ φέρει τὴν πόλιν. VΕΓΘΜ

book 740b δίδως: παρέχεις, ἢ πιστεύεις σεαυτόν. VΕΓ3

book 740c σκυτοτόμοις καὶ βυρσοπώλαις] διὰ τὸν Κλέωνα καὶ τὸν Λυσικλέα. Lh

book 741a τί δρῶν] ἤγουν εὐεργετεῖς. Γ2

book 741b νυν] δή. Lh

book 742a (I) ὑποδραμὼν τῶν ἐκ Πύλου: ἀντὶ τοῦ προδραμών, καταδραμὼν τοὺς ἐν Πύλῳ στρατηγούς. ὅτι συνεχῶς μέμνηται τοῦ ἐν Πύλῳ κατορθώματος. VΕΓ3ΘΜ (II) ἄλλως: ὑφαρπάσας, διὰ τὴν νίκην τὴν ἐν Πύλῳ. ἐν σχήματι δὲ εἶπεν ἀντὶ τοῦ 〈τοὺσ〉 στρατηγούς. VΕΓΘ

book 742b ὑποδραμὼν] ὑφαρπάσας, νικήσας διὰ τὴν νίκην τὴν ἐν Πύλῳ. ἐκ μεταφορᾶς δὲ τοῦτο εἴρηκε τῶν δρομέων. Lh

book 743a ἐκεῖσε] εἰς τὴν Πύλον. Γ2

book 743b ἤγαγον] ἔφερον ἐν Ἀθήναις αἰχμαλώτους. Lh

book 744a ἀπ’ ἐργαστηρίου: ἵνα μηδὲ ἐν τούτοις ἀπολείπεσθαι δοκῇ τοῦ Κλέωνος ὁ ἀλλαντοπώλης, ἔδοξέ πως ὅμοιον ἐξευρηκέναι πρᾶγμα τοῖς ἐκείνῳ πεπραγμένοις. οὐ γὰρ ὁ Κλέων, φησί, μόνος ἀλλοτρίαν νίκην ὑφήρπασεν, ἀλλὰ καὶ αὐτὸς ἐκ τῆς πόλεως μέσης ἔκ τινος ἐργαστηρίου, φησί, χύτραν ὑφειλόμην, ἄλλου κατασκευάσαντος ἑαυτῷ τροφήν· ὡς κἀκεῖνος τὸ ἀλλότριον κατόρθωμα ἴδιον ἐποιήσατο. VΕΓΘΜ

book 745a ἕψοντος] σφάζοντος. Γ2

book 745b ἕψοντος] ὄνομα ἀντιτίθησι καὶ οὗτος ἐκ τῆς οἰκείας τέχνης. Lh

book 746 αὐτίκα] εὐθέως καὶ παραχρῆμα. ἡ σύνταξις Ἀττική. Γ3Lh

book 747 νῶϊν] συνίζησις. Lh

book 748 διάκρινον: σύγκρινον ἢ ἀντεξέτασον τίς ἐστί σοι μᾶλλον εὔνους. VΕΓΘLh

book 749 πλὴν μὴ ’ν τῇ πνυκί: ὡς ἂν ἐν τῇ συνόδῳ ἀνόητα δρῶντος τοῦ δήμου. ἡ δὲ πνὺξ τόπος ἐστὶν ἐν ᾧ τὸ παλαιὸν ἐκκλησίαζον. VΕΓΘΜLh

book 751a ἀλλ’ εἰς τὸ πρόσθεν χρὴ παρεῖναι: εἰς τὴν αὔριον χρὴ παρεῖναι ἅπαντας καὶ συνελθεῖν. VΕΓΘ

book 751b εἰς τὸ πρόσθεν] εἰς τὴν ὑστεραίαν. Γ2

book 752a ὁ γὰρ γέρων οἴκοι μὲν ἀνδρῶν ἐστι δεξιώτατος: ὁ δῆμος. δι’ ἥντινα δὲ αἰτίαν γέροντα καλεῖ τὸν δῆμον, φθάσαντες προειρήκαμεν· διὰ τὸ ἀρχαιοτάτην εἶναι πασῶν τὴν τῶν Ἀθηναίων πόλιν καὶ πρεσβυτάτην, διὰ τὸ καὶ πρώτην ἐκφῦναι. Μ

book 752b γέρων] ὅτι ἀρχαῖος ὁ τῶν Ἀθηναίων δῆμος. ΕΓ2Lh

book 753 δεξιώτατος] ἀγαθὸς καὶ φιλανθρωπότατος καὶ προσηνέστατος. ΕΓ3MLh

book 754a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῆς πέτρας] ἤγουν τῆς πνυκός. Γ2

book 754b τῆς πέτρας] τῆς πυκνός· ὀρεινὴ γὰρ ἦν ὡς ἔοικεν. Lh

book 755a (I) ὥσπερ ἐμποδίζων ἰσχάδας: σῦκα. ὥσπερ, φησίν, οἱ τὰς ἰσχάδας ἐσθίοντες ἀνεμποδίστως καὶ λάβρως αὐτὰς ἐσθίουσι, τὸν αὐτὸν τρόπον καὶ ὁ δῆμος, ἐπειδὰν ἐν τῇ πνυκὶ καθεσθῇ, κατακρίνει καὶ δημεύει. καὶ ὥσπερ οἱ τὰς ἰσχάδας ἐσθίοντες οὐκ ἂν μεταδοῖεν εὐχερῶς τινι, οὕτως οὐδὲ ὁ δῆμος ἐκεῖσε δικάζων οὐκ ἂν φιλανθρωπεύσαιτο ῥᾳδίως. VΕΓΘΜ (II) ἄλλως: ἐπειδὴ εἴωθε τὰ παιδία παίζοντα ἀναβάλλειν τὰς ἰσχάδας, καὶ τῷ στόματι αὐτῶν δέχεσθαι. Ἀρίσταρχος δὲ τὸ "ἐμποδίζων" ἀντὶ τοῦ μασώμενος ἢ ἐμφορούμενος. ἔνιοι δὲ ἀπὸ τοῦ τὸν σῦκα λαμβάνοντα χάσκειν. οἱ δέ, παιδιάν τινα. VΕΓΘΜ (III) ἄλλως: Σύμμαχος οὕτως· ἀπὸ τῶν μελισσῶν ἡ μεταφορά. εἰώθασι γὰρ οἱ μελισσουργοὶ ἰσχάδας συγκεκομμένας ῥίπτειν ταῖς μελίσσαις, ἐπὰν διὰ κρύος ἢ χειμῶνα ἐξιέναι κατοκνῶσιν ἐκ τῶν σίμβλων, ἵνα ἔνδοθεν ἐσθίωσι ⟦· κεχήνασι δὲ οἱ μασώμενοι⟧. Ἀρίσταρχος δὲ ὅτι μασώμενοι τὰς ἰσχάδας ταῖς μελίτταις ῥίπτουσιν ἃ τοῖς ποσὶ τρίβουσιν. VΕΓ3ΘΜ

book 755a (IV) ἄλλως: ἐπειδὴ οἱ παῖδες περιτιθέντες ταῖς συκαῖς βρόχον εἰώθασιν ἐσθίειν ἐπιθυμοῦντες τῶν σύκων, εἶτα ὑπὸ τοῦ πάνυ γλίχεσθαι κεχήνασιν. VΕΓ3Μ

book 755b ἐμποδίζων ἰσχάδας] ἐμποδίζω δοτικῇ· ἴσχω δέ, ὅπερ ἐστὶν αὐτοσήμαινον, αἰτιατικῇ. Γ2

book 755c ὥσπερ οἱ τὰς ἰσχάδας, φησίν, ἐσθίοντες οὐκ ἂν μεταδοῖεν εὐχερῶς ἑτέρῳ, οὕτως οὐδὲ ὁ δῆμος ἐκεῖ δικάζων οὐκ ἂν φιλανθρωπεύσαιτο ῥᾳδίως. ἢ ὅτι εἴωθε τὰ παιδία παίζοντα ἄνω ῥίπτειν τὰς ἰσχάδας ἢ τὰς τῶν βοτρύων ῥάγας καὶ τῷ στόματι αὐτὰς κατιούσας δέχεσθαι χαίνοντα. ἢ ὅτι τὰ ἐπὶ ταῖς συκαῖς σῦκα διὰ καλάμων ἀποσπῶντα κεχηνότα ταῦτα ὑποδέχεται τῷ στόματι. Lh

book 755d ἰσχάδας] σῦκα. Lh

book 756a (ad vv. 756—823) νῦν δή σε: διπλῆ καὶ στίχοι ε′, ὧν ὁ μὲν πρῶτος καὶ τέταρτος καὶ πέμπτος ἴαμβοι τετράμετροι καταληκτικοί, ὁ δὲ δεύτερος καὶ ὁ τρίτος ἐξ ἰάμβων διμέτρων 〈καὶ ἰθυφαλλικῶν〉. εἶτα ἐν ἐκθέσει ἐστὶ τὸ ἔθιμον, ⟦διπλῆ⟧ 〈δίστιχοσ〉 ἀνάπαιστος τετράμετρος καταληκτικός· ὑφ' ὃ διπλῆ καὶ ἑξῆς στίχοι ὁμοίως ξ′. VΕΓΘ

book 756b νῦν δεῖ σε πάντα κάλων: κορωνὶς καὶ εἴσθεσις χοροῦ, ἐπῳδικὴ μὲν διὰ τὸ μετὰ τὴν κορωνίδα κεῖσθαι, μεσῳδικὴ δὲ διὰ τὸ ἑξῆς εἰσάγεσθαι ἑτέραν διπλῆν, ἐκ στίχων ε′. ὧν οἱ μὲν γ′ ἀσυνάρτητοι ἐξ ἰαμβικοῦ διμέτρου ἀκαταλήκτου τοῦ καλουμένου Ἀνακρεοντείου καὶ τροχαϊκοῦ ἰθυφαλλικοῦ τοῦ καλουμένου Ἀρχιλοχείου. καλεῖται δὲ τὰ τοιαῦτα ἀσυνάρτητα Εὐριπίδεια. εἰσὶ γὰρ ὅμοια τῷ Εὐριπιδείῳ τῷ "ἑῷος ἡνίχ' ἱππότης ἐξέλαμψεν ἀστήρ." οἱ δὲ ἑξῆς β′ ἰαμβικοὶ τετράμετροι καταληκτικοί. ἐν ἐκθέσει δὲ στίχοι β′ ἀναπαιστικοὶ τετράμετροι καταληκτικοί. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ. Lh

book 756c κάλων: παροιμία, πάντα δὴ κάλων κινεῖν. εἴληπται δὲ ἀπὸ τῶν πλεόντων καὶ χειμαζομένων. φησὶν οὖν, πάντα κίνει πράγματα καὶ πάντα μηχανῶ κατὰ τοῦ Κλέωνος, ἵν' αὐτοῦ περιγένῃ. κάλων δὲ τὸ σχοινίον. τροπικῶς δὲ ὡς ἐπὶ τοῦ ἱστοῦ λέγει· ἁπλοῦν σε δεῖ τὰ ἄρμενα, οἷον πάντα κινεῖν ὑπὲρ τοῦ περιγενέσθαι αὐτοῦ. VΕΓ3

book 756d πάντα δεῖ κάλων ἐξιέναι: κάλων, σχοινίον τροπικῶς· ἐπὶ τοῦ ἱστοῦ λέγεται, "ἁπλοῦν σε δεῖ τὰ ἄρμενα." ἔστι δὲ παροιμιακόν. φησὶν οὖν, πάντα κίνει πράγματα καὶ πάντα μηχανῶ περὶ τοῦ Κλέωνος, ἵνα αὐτοῦ περιγένῃ. εἴρηται, πάντα δεῖ κάλων κινεῖν. τοῦτο παροιμία· εἴληπται δὲ ἀπὸ τῶν πλεόντων καὶ χειμαζομένων. Μ

book 756e ἐξιέναι] μετέρχεσθαι, κινεῖν. Γ2

book 756f

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ πάντα κάλων κινεῖν παροιμία ἐστίν. εἴληπται δὲ ἀπὸ τῶν πλεόντων καὶ χειμαζομένων καὶ πάντα κάλων κινούντων καὶ ῥιπτόντων σὺν ταῖς ἀγκύραις ἐν θαλάσσῃ, ὥστε τοῦ κλύδωνος ῥύσασθαι τὸ πλοῖον. φησὶν οὖν κἀνταῦθα ὅτι πάντα τρόπον κίνει ὥστε περιγενέσθαι τοῦ Κλέωνος. Lh

book 756g κάλων] σχοινίον. Lh

book 756h ἐξιέναι] ἐκβαλεῖν ὥστε περιγενέσθαι αὐτοῦ. Lh

book 757a θούριον] ὁρμητικόν. Γ2

book 757b φορεῖν] ἔχειν. Γ2

book 757c ἀφύκτους] καὶ οὓς οὐκ ἔστι τινὰ δυνατὸν ἐκφυγεῖν. Γ2

book 758a ποικίλος] ἐπὶ πολλὰ τὴν γνώμην ἄγων. ΕΓ3Lh

book 758b ποικίλος] πολυμήχανος. Γ2

book 758c ὅτοισι] ἤγουν οἷστισι. Lh

book 758d ὑπερβαλεῖ] νικήσεις. Lh

book 758e ποικίλος] ἐπὶ πολλὰ τὴν γνώμην ἄγων καὶ περιεργαζόμενος καὶ πονηρευόμενος. Lh

book 759a κἀκ τῶν ἀμηχάνων: ἐκ τῶν ἀπόρων εὐπόρους ἀφορμὰς καὶ εὐαφόρμους καὶ συνέτους, λόγων εὐπορίας. VΕΓ3Lh

book 759b ἀμηχάνων] μὴ ἐχόντων τινὰ μηχανήν, ἀπόρων, ἀδυνάτων. Γ2

book 759c πορίζων] ἐξευρίσκων. ΕΓ3

book 760a πρὸς ταῦθ’ ὅπως ἔξει: διὰ ταῦτα φρόντιζε ὅπως ἐπεξελεύσῃ καὶ λαμπρὸς δόξῃς εἶναι. ἀλλὰ φυλάσσου καὶ ἐπιτήρει. VΕΓ3Lh

book 760b πολὺς καὶ λαμπρὸς] πλήρης λόγων καὶ φρονήματος. ΕΓ3Lh

book 760c ὅπως ἔξει] ὅρα, μελέτα ἐξελεύσεσθαι. Γ2

book 761a προσκεῖσθαι] ἐπιθέσθαι. Γ2

book 761b φυλάττου] ἐπιτήρει. Lh

book 762a (I) τοὺς δελφῖνας μετεωρίζου: δελφὶς ὄργανον ναυτικόν. “μετεωρίζου” δέ, τουτέστιν εἰς ὕψος αἶρε. ἐπεὶ καὶ τῶν θαλασσίων δελφίνων τὰ πηδήματα μετέωρα. μέμνηται δὲ καὶ Θουκυδίδης. VΕΓΘΜ (II) ἄλλως: δελφὶς ἐξάρτημα τῶν νεῶν. ἀγκυρώματα. VΓ3 (III) ἄλλως: σιδηροῦν κατασκεύασμα ἢ μολίβδινον εἰς δελφῖνα ἐσχηματισμένον. τοῦτο δὲ ἐκ τῆς κεραίας τοῦ ἱστοῦ αἱ ναυμαχοῦσαι ἠφίεσαν εἰς τὰς τῶν πολεμίων, καὶ κατεδύοντο. δηλοῦται δὲ ὑπὸ Φερεκράτους ἐν τοῖς Ἀγρίοις, ὅταν λέγῃ ὁ δὲ δὴ δελφίς ἐστι μολιβδοῦς, δελφινοφόρος τε κεροῦχος,

book 762a 〈ὃσ〉 διακόψει τοὔδαφος αὐτῶν ἐμπίπτων καὶ καταδύων. καὶ Θουκυδίδης δελφινοφόρον εἴρηκε τὴν ναῦν ἐξηρτῆσθαι. VΕΓ3ΘΜ

book 762b τὴν ἄκατον παραβάλλου: ἑτοίμην ποίει· ὡς εἴ τις κίνδυνος ἐκ τοῦ ἀνέμου εἰς αὐτὴν ἐμβησομένοις. VΕΓΘ

book 762c παραβάλλου] ἤγουν ᾠκονομημένην ἔχε. Γ2

book 762d δελφίς ἐστιν ὄργανόν τι ναυτικὸν σιδηροῦν ἢ μολύβδινον εἰς δελφῖνα ἐσχηματισμένον. τοῦτο δὲ ἐκ τῆς κεραίας τοῦ ἱστοῦ αἱ ναυμαχοῦσαι νῆες ἠφίεσαν εἰς τὰς τῶν πολεμίων, καὶ κατεδύοντο. “μετεωρίζου” δέ φησιν ἀντὶ τοῦ εἰς ὕψος αἶρε, ἐπεὶ καὶ τῶν θαλασσίων δελφίνων μετέωρα τὰ πηδήματα. καὶ Θουκυδίδης δὲ δελφινοφόρον εἴρηκε τὴν ναῦν τὴν ἐξηρτημένον ἔχουσαν δελφῖνα τοιοῦτον. Lh

book 762e δελφῖνας] ναυτικὸν ὄργανον. Lh

book 762f μετεωρίζου] εἰς ὕψος αἶρε. Lh

book 762g παραβάλλου] ἑτοιμὴν ποιοῦ. Lh

book 763 τῇ μὲν δεσποίν᾽ Ἀθήνῃ: ἐντεῦθεν δοκεῖ μοι καὶ Δημοσθένης ὠφεληθεὶς τὸ προοίμιον εἰληφέναι ἐν τῷ περὶ τοῦ στεφάνου λόγῳ. φησὶ γὰρ οὕτως· "πρῶτον μὲν ὦ Ἀθηναῖοι τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων διατελῶ τῇ τε πόλει". VEΓΘLh

book 765a βέλτιστος ἀνὴρ: εὔνους καὶ ἄριστος. VEΓΘLh

book 765b μετὰ Λυσικλέα καὶ Κύνναν καὶ Σαλάβακχαν: Λυσικλῆς ὡς προβατοκάπηλος διεβάλλετο. Κύννα δὲ καὶ Σαλάβακχα τῶν θαυμαζομένων ἑταιρίδων. VEΓΘM

book 765c Λυσικλέα] οὗτος ὡς προβατοκάπηλος διεβάλλετο. Lh

book 765d Κύνναν καὶ Σαλάβακχαν] αὗται τῶν θαυμαζομένων ἑταιρίδων. Lh

book 766a (I) μηδὲν δράσας: μηδὲν σπουδαῖον διαπραξάμενος. VEΓ3 (II) ἄλλως: μηδὲν διαπραξάμενος ἔργον σπουδαῖον καὶ μέγα. φησὶ γὰρ ὅτι ἐπὶ μεγάλοις κατορθώμασι τὴν τιμὴν ταύτην Ἀθηναῖοι παρεῖχον τοῖς ἀγαθόν τι εὐεργετήσασιν αὐτούς. νῦν οὖν σκώπτει τὸν Κλέωνα, δι᾽ ὧν αὐτὸν ὁμολογοῦντα ποιεῖ, ὅτι μηδὲν διαπραξάμενος τοιοῦτον ἔργον, τῆς ἐν πρυτανείῳ σιτήσεως μετέσχεν. VEΓΘ

book 766b μηδὲν δράσας: μηδὲν σπουδαῖον διαπραξάμενος τῆς ἐν πρυτανείῳ σιτήσεως ἔτυχε· σκώπτει δὲ τὸν Κλέωνα δι᾽ ὧν αὐτὸν ὁμολογοῦντα ποιεῖ. M

book 766c μηδὲν δράσας] μηδὲν σπουδαῖον διαπραξάμενος. σκώπτει δὲ τὸν Κλέωνα ὡς μηδὲν διαπραξάμενον καὶ τυχόντα τῆς σιτήσεως. Lh

book 766d φησὶν ὅτι ἐπὶ μεγάλοις κατορθώμασιν τὴν ἐν πρυτανείῳ σίτησιν παρεῖχον Ἀθηναῖοι τοῖς προτέροις τῶν στρατηγῶν. νῦν δὲ μηδὲν διαπραξάμενος Κλέων τοιοῦτον ταύτης τῆς τιμῆς ἔτυχεν. Lh

book 767a περί σου μάχομαι: τουτέστιν ἀνθιστάμενος τοῖς ἀδικεῖν σε προαιρουμένοις. VEΓ3M

book 767b ἀντιβεβληκώς: ἀντὶ τοῦ πρὸς βίαν ἀγωνιζόμενος. εἴρηται δὲ ἀπὸ τῶν τοὺς ἵππους ἐλαυνόντων, ἢ τῶν τούτους ἁβήναις ἑλκόντων. VEΓΘM

book 767c περί σου μάχομαι] ἀνθιστάμενος καὶ ἐναντιούμενος τοῖς ἀδικεῖν βουλομένοις. Lh

book 767d ἀντιβεβληκώς] πρὸς βίαν ἀγωνιζόμενος. Lh

book 768a (I) λέπαδνα: οἱ στηθιαῖοι λῶροι· τοῦτο δὲ ὡς βυρσοπώλης εἶπεν. VEΓΘM (II) ἄλλως: λεπτότατα καὶ εἰς πολλὰ μέρη διῃρημένα. ἀπὸ δὲ τοῦ τεμνομένου χείλους τῇ μεταφορᾷ τῶν ὀνομάτων ἐχρήσατο, παίζων ὁμοῦ καὶ εἰς τὴν τέχνην Κλέωνος διὰ τὰς κατατεμνομένας βύρσας. λείπει δὲ ἡ "εἰς", εἰς λέπαδνα. VEΓΘM

book 768b κατατμηθείην τε λέπαδνα] ὡς βυρσοπώλης εἶπεν εἰς μέρη διατμηθείην καὶ λωροτομηθείην. Lh

book 769 εἰ μή σε φιλῶ: ἔπαιξε κἀνταῦθα τοιούτοις ὀνόμασι διὰ τὸ μάγειρον αὐτὸν εἶναι. πειρᾶται δὲ εἷς ἕκαστος αὐτῶν μᾶλλον φανῆναι τὸν Δῆμον φιλῶν, ἵν᾽ εὔνουν ἑαυτῷ κατασκευάσῃ. VEΓΘMLh

book 770a ἑψοίμην ἐν περικομματίοις: τοῖς περιαιρέμασι τῶν κρεῶν. ἑψηθείην οὖν σὺν αὐτοῖς περικόμμασιν. VEΓΘ

book 770b κεἰ μὴ τούτοισι: εἰ μὴ τούτοις ἀρκῇ τοῖς ῥήμασι, καὶ εἰ μὴ πιστεύσεις, φησί, τούτῳ μου τῷ ὅρκῳ, ὀμοῦμαί σοι καὶ ἕτερον ὅρκον μείζονα. VEΓΘM

book 770c πέποιθας] θαρρεῖς. Γ2

book 770d περικομματίοις] περιαιρέμασι τῶν κρεῶν, ἃ οἱ μάγειροι ἀφαιροῦνται. Lh

book 770e κεἰ μὴ τούτοισι] εἰ μὴ πιστεύεις τούτῳ τῷ ὅρκῳ, καὶ ἕτερα ὀμοῦμαί σοι μείζονα. Lh

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 771a κατακνησθείην: καταξεσθείην εἰς ἰσχνὰ μέρη καὶ ἀναλωθείην· καὶ τοῦτο δὲ ἀπὸ τῆς τέχνης παρείληφε τῆς αὐτοῦ. καὶ Ὅμηρος· “κνῆστι χαλκείῃ”. μυττωτὸν δὲ τὸ τῶν σκορόδων τρίμμα μετὰ τυροῦ καὶ ἐλαίου καὶ μέλιτος καὶ πράσου. τῷ “μυττωτῷ” δὲ εἶπε παίζων ἴσως πρὸς τὸ Ὁμηρικόν. VEΓ3ΘM

book 771b ταυτησὶ] τὴν τράπεζαν δεικνὺς τὴν μαγειρικήν. EΓ3

book 771c ταυτησὶ] τῆς μαγειρικῆς τραπέζης. Lh

book 771d κατακνησθείην] καταξεσθείην εἰς ἰσχνὰ μέρη. Lh

book 771e μυττωτῷ] τῷ τῶν σκορόδων τρίμματι καὶ τυροῦ καὶ ἐλαίου καὶ μέλιτος καὶ πράσου. Lh

book 772a κρεάγρᾳ: εἶδος ἐργαλείου μαγειρικοῦ χειρὶ παρεοικός, μόνον ἐγκεκαμμένον τοὺς δακτύλους, ἀνιμῶσα τὰ ζεστὰ διὰ τὸ τὰς χεῖρας καίεσθαι. κρεάγρα δὲ εἴρηται ἀπὸ τοῦ τὰ κρέα τὰ ἐπὶ τοῖς λέβησιν ἀγρεύειν καὶ ἀνασπᾶν. VEΓΘM

book 772b ὀρχιπέδων: τοῦτο οὐχ ἁπλῶς, ἀλλ’ ἀφ’ ἱστορίας, ὡς καὶ αὐτὴν τὴν κόλασιν τοῖς πονηροῖς προσαγόντων τῶν Ἀθηναίων. VEΓΘMLh

book 772c (I) εἰς Κεραμεικόν: τόπος Ἀθηνῶν οἱ Κεραμεικοί· θεῶν τὰ ἀγάλματα ἐκεῖσε ἱδρυμένα. VEΓ3 (II) ἄλλως: δῆμος τῆς Ἀττικῆς. δύο δὲ Κεραμεικοὶ Ἀθήνησιν .... ἐν δὲ τῷ ἑτέρῳ ἦσάν τε καὶ προεστήκασιν αἱ πόρναι. VEΓΘM

book 772d κρεάγρᾳ] εἶδος ἐργαλείου μαγειρικοῦ τὰ κρέατα ἐκ τῶν λεβήτων ἐξαίρουσα. Lh

book 772e Κεραμεικόν] δύο τόποι ἐν Ἀθήναις ἐν οἷς ἵσταντο ἀγάλματα θεῶν καὶ ἀγῶνες ἐτελοῦντο οὕτω καλούμενοι. Lh

book 774 ἀπέδειξα: φανερὰ ἐποίησα. EΓ3MLh

book 775a τοὺς μὲν στρεβλῶν, τοὺς δ’ ἄγχων: δηλοῖ διὰ τούτων τῶν ὀνομάτων τὸ βίαιον τῆς ἀπαιτήσεως, εἴ πως δύναιτο πεῖσαι τοὺς Ἀθηναίους μὴ εἶναι περὶ τὰς ἀπαιτήσεις τῶν πολιτικῶν χρημάτων βαρεῖς. VEΓΘ

book 775b μεταιτῶν: τοὺς μὴ ὀφείλοντας δηλονότι. λῆρον δὲ ἐποίησε διὰ τῆς ἀνταποδόσεως τὸ νόημα, εἰπὼν ὅτι τοὺς μὲν μετὰ βίας εἰσέπραττον τῶν χρεωστουμένων, τοὺς δὲ μὴ ὀφείλοντας μετῄτουν. VEΓΘMLh

book 775c ἄγχων] πνίγων. Γ2

book 775d τοὺς μὲν στρεβλῶν, τοὺς δ’ ἄγχων] διὰ τούτων τῶν ὀνομάτων δηλοῖ τὸ βίαιον τῆς ἀπαιτήσεως. Lh

book 776a οὐ φροντίζων: τὸ λεγόμενον τοιοῦτόν ἐστιν. ἐν δευτέρῳ τὴν πρὸς τοὺς ἰδιώτας ἀπέχθειαν ἐποιούμην, ἕνεκα τοῦ ἀποθεραπεῦσαι τὴν πόλιν. VEΓ3ΘM

book 776b οὐ φροντίζων] ἤγουν ἐν δευτέρῳ λόγῳ τιθέμενος τὴν τῶν ἰδιωτῶν ἀπέχθειαν ἕνεκα τοῦ ἀποθεραπεῦσαι τὴν πόλιν. Lh

book 777 σεμνόν] μέγα. Γ3

book 778a ἄρτους ἀλλοτρίους: τοὺς βιαίως ἀφαιρουμένους. σκώπτει δὲ τὸν Κλέωνα ἀπὸ τῶν ἀλλοτρίων φιλοτιμούμενον. ἀπὸ δὲ τῆς αὐτοῦ τέχνης ὁρμώμενος πάλιν τοῦ ἀλλαντοπώλου μέμνηται. VEΓ3ΘM

book 778b σκώπτει τὸν Κλέωνα πάλιν ἐπὶ τῷ τἀλλότρια ἁρπάζειν φιλοτιμούμενον, καὶ αὐτὸς πρὸς τὴν οἰκείαν τέχνην ἁρπάζειν ἄρτους ὑπισχνεῖται καὶ προσάγειν αὐτῷ. Lh

book 778c παραθήσω] εἰς ἑστίασιν. Lh

book 780a

ὅτι τῆς ἀνθρακιᾶς ἀπολαύει: ὅτι τῶν σῶν ἀγαθῶν ἀπολαύει. χρησιμεύει γὰρ ἡ ἀνθρακιὰ τῷ χειμῶνι, καὶ τοὺς ἔχοντας οἱ ἄλλοι περικάθηνται βουλόμενοι εἰσδῦναι. VΕΓ3ΘΜ

book 780b τῆς ἀνθρακιᾶς] τῆς ἐν πρυτανείῳ σιτήσεως. ΕΓ3Lh

book 780c αὔθ’] αὐτό. Lh

book 780d τῆς ἀνθρακιᾶς] τῶν σῶν ἀγαθῶν. Lh

book 781a διεξιφίσω: ἐπολέμησας πρὸς τοὺς Μήδους, τοῖς ξίφεσι κατ’ αὐτῶν ἐχρήσω. VΕΓΘΜLh

book 781b ἐν Μαραθῶνι: τόπος τῆς Ἀττικῆς, εἰς ὃν ἐνώρμησαν Δᾶτις καὶ Ἀρτάβαζος, Μηδικοὶ σατράπαι, πεμφθέντες ὑπὸ Δαρείου βασιλέως καταδουλώσασθαι τὴν Ἑλλάδα. ἔνθα συμβαλόντες αὐτοῖς οἱ Ἀθηναῖοι Μιλτιάδου στρατηγοῦντος, μόνων Πλαταιέων συμμαχησάντων αὐτοῖς χιλίοις ἀνδράσι καὶ οὕτω πληρωθέντος τοῦ ἀριθμοῦ τῆς Ἑλληνικῆς δυνάμεως, τῆς περσικῆς καὶ τοῖς Ἕλλησι τῆς ἐλευθερίας αἴτιοι κατέστησαν, μόνοι ἐξ ἁπάντων τῶν Ἑλλήνων τὸν πρῶτον τῶν Περσῶν διαφθείραντες. VΕΓΘΜ

book 781c ἱστορία περὶ τῆς ἐν Μαραθῶνι μάχης Περσῶν: Δᾶτις καὶ Ἀρτάβαζος, Μήδων σατράπαι, πεμφθέντες ὑπὸ Δαρείου βασιλέως καταδουλώσασθαι τὴν Ἑλλάδα ἐνώρμισαν εἰς Μαραθῶνα, τόπον περὶ τὴν Ἀττικήν, ἔνθα συμβαλόντες αὐτοῖς Ἀθηναῖοι Μιλτιάδου στρατηγοῦντος, μόνων Πλαταιέων συμμαχούντων αὐτοῖς χιλίοις ἀνδράσιν ὡς ἐξισωθῆναι τῇ Περσῶν δυνάμει τὴν τῶν Ἀθηναίων δύναμιν, τοῖς Ἕλλησι πᾶσιν ἐλευθερίας μόνοι κατέστησαν αἴτιοι, τὸν πρῶτον τῶν Περσῶν διαφθείραντες. Lh

book 781d Μαραθῶνι] τόπος τῆς Ἀττικῆς. Lh

book 782a ἐγγλωττοτυπεῖν: τὴν γλῶσσαν ψοφεῖν τὰ κατορθώματα, ἢ σεμνολογεῖν τὰ ἐκείνων κατορθώματα καὶ ἀεὶ ἐπὶ γλώττης ἔχειν. VΕΓΘΜ

book 782b ἐγγλωττοτυπεῖν] διὰ γλώττης ψοφεῖν, σεμνολογεῖν τὰ κατορθώματα. Μ

book 782c ἐγγλωττοτυπεῖν] τὴν γλῶτταν κινεῖν καὶ ᾄδειν τἀκεῖ κατορθώματα. Lh

book 783 ἐπὶ ταῖς πέτραις: ἐπὶ τῶν βάθρων τῆς πνυκός. ΕΓ3ΜLh

book 784a ῥαψάμενός σοι τουτὶ φέρω: παρεπιγραφή· δείκνυσι γὰρ αὐτῷ προσκεφάλαιον, ὅ φησι ⟦τῷ Δήμῳ⟧ παρασκευάσαι, ἵνα μὴ ἐπὶ ψιλοῖς τοῖς βάθροις ἐπικαθέζηται, ἀπ’ ἀρχῆς τὴν περὶ τὸν Δῆμον εὔνοιαν δεικνύς. VΕΓΘΜ

book 784b ἀλλ’ ἐπαναίρου: ἐπανίστασο καὶ ἐπεγείρου, ἵνα ὑποθῶ τῷ καθίσματι τὸ προσκεφάλαιον. VΕΓ3Θ

book 784c ἐπαναίρου] ἐπανίστασο. Γ2Lh

book 784d τουτὶ φέρω] τὴν αὐτοῦ εὔνοιαν δεῖξαι βουλόμενος προσκεφάλαιον δείκνυσιν αὐτῷ. Lh

book 785a ἵνα μὴ τρίβῃς: ἵνα μὴ ἐκτρίψῃς μηδὲ διαφθείρῃς τὴν ἐν Σαλαμῖνι καμοῦσαν πυγὴν ἐν ναυμαχίᾳ. ἀπὸ δὲ Μαραθῶνος Σαλαμῖνος μέμνηται, ὅπου ναυμαχία Περσῶν ἐγένετο, ἐν Μαραθῶνι δὲ πεζομαχία. κεῖται δὲ ἡ Σαλαμὶς ὀλίγον πρὸ τῆς Ἐλευσῖνος πόλεως, ἱερᾶς Δήμητρος καὶ Κόρης, πλήρης οὖσα κατορθωμάτων Ἑλληνικῶν. καὶ γὰρ ἐνταῦθα πολλὰς τῶν Περσῶν Ἀθηναῖοι κατεναυμάχησαν τριήρεις ὀλίγῳ ἀριθμῷ, Θεμιστοκλέους στρατηγοῦντος. ἔνθα καὶ πέτρα Εἰρεσία, οὕτω καλουμένη ὥσπερ διὰ τοῦ ὀνόματος τρόπαιον οὖσα τῆς Ἀττικῆς. ἔστι δὲ καὶ Ἀγέλαστος πέτρα καλουμένη παρὰ τοῖς Ἀθηναίοις, ὅπου καθίσαι φασὶ Θησέα μέλλοντα καταβαίνειν εἰς Ἅιδου·

book 785a ὅθεν καὶ τοὔνομα τῇ πέτρᾳ. ἢ ὅτι ἐκεῖ ἐκάθισεν ἡ Δημήτηρ κλαίουσα, ὅτε ἐζήτει τὴν Κόρην. VΕΓ3ΘΜ

book 785b τὴν ἐν Σαλαμῖνι] λείπει τὴν πυγήν. ΕΓ2

book 785c

ἱστορία περὶ τῆς ἐν Σαλαμῖνι τούτων μάχης: ἀντὶ Μαραθῶνος Σαλαμῖνος μέμνηται, ὅπου ναυμαχία Περσῶν ἐγένετο, ἐν Μαραθῶνι δὲ πεζομαχία. κεῖται δὲ ἡ Σαλαμὶς πρὸ τῆς Ἐλευσῖνος, ἱερᾶς πόλεως Δήμητρος καὶ Περσεφόνης, πλήρης οὖσα κατορθωμάτων Ἑλληνικῶν. καὶ γὰρ ἐν ταύτῃ πολλὰς τῶν Περσῶν Ἀθηναῖοι κατεναυμάχησαν τριήρεις, Ξέρξου τοῦ Περσῶν βασιλέως στρατεύσαντος κατὰ τῶν Ἑλλήνων μετὰ πεζῆς μὲν στρατιᾶς ἀπείρου, νεῶν δὲ χιλίων διακοσίων καὶ ἐπέκεινα· ἃς πάσας μιᾷ νυκτὶ κατέδυσαν οἱ Ἀθηναῖοι ἐν Σαλαμῖνι Θεμιστοκλέους στρατηγοῦντος, ναῦς ἔχοντες οὐ πλείους τῶν τριακοσίων. ἐν Σαλαμῖνι δὲ καὶ πέτρα ἐστὶν Εἰρεσιώνη, οὕτω καλουμένη ὥσπερ διὰ τοῦ ὀνόματος τρόπαιον οὖσα τῆς κατὰ Περσῶν νίκης. ἔστι δὲ καὶ Ἀγέλαστος πέτρα καλουμένη παρ’ Ἀθηναίοις, ὅπου καθίσαι φασὶ τὸν Θησέα μέλλοντα καταβαίνειν εἰς Ἅιδου μετὰ Πειρίθου, ὅθεν καὶ τοὔνομα τῇ πέτρᾳ. ἢ ὅτι ἐν ταύτῃ καθίσαι τὴν Δήμητραν λόγος κλαίουσαν ὅτε τὴν Κόρην ἐζήτει. Lh

book 785d καθίζου] δεῖ νοεῖν ὅτι ὑποτίθησιν αὐτῷ τὸ προσκεφάλαιον. Lh

book 785e τρίβης] ἐκτρίψης. Lh

book 785f τὴν ἐν Σαλαμῖνι] ναυμαχίαν καὶ τὴν ἐπ’ αὐτῇ καμοῦσαν πυγήν. Lh

book 786a μῶν ἔγγονος: μὴ τὸ γένος, φησί, κατάγεις ἀπὸ Ἁρμοδίου καὶ Ἀριστογείτονος; ὁ δὲ Δῆμός ἐστιν ὁ θαυμάζων τὸν ἀλλαντοπώλην ἐπὶ τῇ φιλοτιμίᾳ τῶν καθισμάτων. εἰς Ἁρμόδιον δὲ καὶ Ἀριστογείτονα τὸ γένος ἀνήνεγκεν αὐτοῦ, ἐπεὶ καὶ οὗτοι εὐνοίας πολλάκις ἀπηνέγκαντο δόξαν, ἐπιθέμενοι τοῖς τυράννοις καὶ τὸν Ἱππίαν διαχειρισάμενοι, ὡς φθάσαντες προείπομεν. VΕΓΘΜ

book 786b ἔγγονος] ἀπόγονος. Γ3Lh

book 786c τῶν Ἁρμοδίου] υἱῶν. Γ2

book 786d εἰς Ἁρμόδιον καὶ Ἀριστογείτονα τὸ γένος ἀνῆγεν αὐτοῦ ὁ ἀλλαντοπώλης, ἐπεὶ καὶ οὗτοι πολλάκις εὐνοίας ἀπηνέγκαντο δόξαν, ἐπιθέμενοι τοῖς τυράννοις καὶ τὸν Ἱππίαν διαχειρισάμενοι, ὡς φθάσαντες εἴπομεν. τοῦτο δὲ πρῶτον δείκνυσιν αὐτοῦ τὴν εἰς τὴν πόλιν εὔνοιαν. Lh

book 786e Ἁρμοδίου] οὗτος εὔνους ἦν τῇ πόλει. Lh

book 787a τοῦτό γέ τοι: πρῶτον ἐπιδείκνυσι τὴν εἰς τὴν πόλιν εὔνοιαν. VΕΓΘ

book 787b γε] γάρ. Lh

book 788a ἀπὸ μικρῶν] ἀπὸ βραχέων καὶ τῶν τυχόντων παντάπασιν. VΕΓ3Lh

book 788b θωπευματίων] κολακειῶν, θωπεύειν γὰρ τὸ κολακεύειν. Lh

book 789a συνεῖλες: ἤγρευσας, ὑποχείριον ἐποίησας δελεάσμασιν, ἀπάταις. ἰδίως δὲ δέλεαρ καλοῦμεν τὴν τοῖς ἰχθύσιν ὑποβαλλομένην τροφὴν εἰς ἀπάτην τοῦ ἀγρευθῆναι. ἀπὸ μεταφορᾶς οὖν ἐκείνων φησίν. VΕΓ3ΘΜ

book 789b εἷλες] ἤγρευσας. Γ2

book 789c δελεάσμασι] τὴν τοῖς ἰχθύσιν ὑποβαλλομένην τροφὴν εἰς τὸ ἀγρευθῆναι δέλεαρ καλοῦσι κυρίως. Lh

book 791a περιδόσθαι: συνθήκην θεῖναι. Ὅμηρος “δεῦρό νυν τρίποδος περιδώμεθα”. VΕΓ3

book 791b περὶ τῆς κεφαλῆς περιδόσθαι] ἐπὶ τῆς κεφαλῆς συνθήκην θεῖναι. ΕΓ3Lh

book 791c περιδόσθαι] συμφωνίαν ποιήσασθαι ἢ συνθήκην θέσθαι. Γ2

book 792a ἐν ταῖς πιθάκναις: πιθοκοίταις, ἑτοίμοις τόποις. ὅτι διὰ τὸν πόλεμον οἱ Ἀθηναῖοι ἐκ τῶν ἀγρῶν εἰσερχόμενοι ἐν ταῖς πιθάκναις ἢ ἐν τοῖς σπηλαίοις ᾤκουν τῇ σπάνει τῶν οἰκημάτων. VΕΓΘΜLh

book 792b ταῖς πιθάκναις] τοῖς πιθοκοίταις. Lh

book 793a (I) γυπαρίοις: εἶδος ὀρνέου γῦπες. ἔπαιξε δὲ τὸ ὄνομα διὰ τὸ ἐπιφερόμενον. δοκεῖ γάρ πως παρόμοια τὰ ὀνόματα ταῦτα εἶναι, “γυπαρίοις” καὶ “πυργιδίοις”. ἢ διὰ τὸ τοὺς ὄρνις τούτους μάλιστα τοῖς πύργοις ἐπικαθῆσθαι καὶ τοῖς τείχεσιν, εἰς οὓς οἱ Ἀθηναῖοι ἐκάθευδον διὰ τὸν πόλεμον φρουροῦντες τὴν πόλιν. VΕΓ3ΘΜ (II) ἄλλως: ἀντὶ τοῦ ἐν φωλεοῖς καὶ καλιαῖς καὶ στενοῖς χωρίοις. Κράτης δέ φησιν ὅτι πᾶσαν στενὴν κατάδυσιν οὕτως ὠνόμαζον. VΕΓ3Θ

book 793b οὐκ ἐλεαίρεις: οὐ κατοικτείρεις. δείκνυσι δὲ διὰ τούτων ὅτι ὁ κωλύων παύσασθαι τὸν πόλεμόν ἐστιν ὁ Κλέων. ὅπερ οὖν καὶ Θουκυδίδης ἱστορεῖ διὰ τούτων· “ἐπειδὴ καὶ ἡ ἐν Ἀμφιπόλει ἧσσα τοῖς Ἀθηναίοις ἐγένετο, καὶ ἐτεθνήκει Κλέων τε καὶ Βρασίδας, οἵπερ ἀμφότεροι μάλιστα ἠναντιοῦντο τῇ εἰρήνῃ, ὁ μὲν διὰ τὸ εὐτυχεῖν τε καὶ τιμᾶσθαι ἐκ τοῦ πολεμεῖν, ὁ δὲ γενομένης εὐτυχίας καταφανέστερός τε νομίζων εἶναι κακουργῶν καὶ ἀπιστότερος διαβάλλων.” VΕΓ3Θ

book 793c ἔτος ὄγδοον] τοσαῦτα ἔτη εἶχον πολεμοῦντες. ΕΓ3

book 793d ἐλεαίρεις] ἐλεεῖς. Γ2

book 793e γυπαρίοις] εἶδος ὀρνέου οἱ γῦπες· ἤγουν καλιαῖς ὀρνέων. Lh

book 793f οὐκ ἐλεαίρεις] ἤγουν οὐ κατοικτείρεις. Lh

book 794a βλίττεις: βλίττειν ἐστὶ τὸ ἐκπιέζειν τὰ κηρία τῶν μελισσῶν. VΕΓ3Μ

book 794b Ἀρχεπτολέμου δὲ φέροντος: παρ’ ἱστορίαν τοῦ Ἀρχεπτολέμου ἐμνημόνευσεν. ὄγδοον γὰρ ἔτος ἔχοντος τοῦ πολέμου τούτου, ἔτι ζῶντος τοῦ Κλέωνος, ἐνιαύσιον ἐποιήσαντο πρὸς ἀλλήλους ἐκεχειρίαν οἱ Ἀθηναῖοι καὶ οἱ Πελοποννήσιοι, πρεσβείαν πέμψαντες πρὸς ἀλλήλους, οὐ μὴν Ἀρχεπτολέμου πρεσβεύοντός τινος, ἀλλὰ τῶν Λακεδαιμονίων ἦν πρεσβευτὴς Ταῦρος, Ἐχετιμίδης, Ἀθήναιος, Περικλείδας, Αἰνείας, Σισυφαμίδας Ἀριστοδήμου, Σικυωνίων δὲ Δημότιμος Ναυκράτους, Μενεκράτης Ἀμφιδώρου, Ἐπιδαυρίων δὲ Ἀμφίας, Ἀθηναίων δὲ οἱ στρατηγοὶ Νικίας ὁ Νικηράτου, Αὐτοκλῆς Τολμαίου. ἐγένετο δὲ ὁ πόλεμος ἐπὶ ὀκτωκαίδεκα ἔτη. καὶ οὕτως ἡ πρεσβεία τοῦ Κλέωνος ζῶντος,

book 794b ἡ δὲ εἰρήνη μετ’ ἐνιαυτὸν ἐγένετο. εἰκὸς οὖν Ἀρχεπτολέμου μνημονεῦσαι χρησάμενον τῷ ὀνόματι ἵνα μᾶλλον ἔξαρχον ἐπιδείξῃ τοῦ πολέμου τὸν Κλέωνα, ὅτι Ἀρχεπτολέμου εἰρήνην διδόντος οὐ κατεδέξατο Κλέων. VΕΓ2Γ3ΘΜLh βλίττεις] ἀμέλγεις. ΕΓ2

book 794c βλίττεις: βλίττειν ἐστὶ τὸ ἐκπιέζειν τὰ κηρία τῶν μελισσῶν. Γ2Γ3

book 794d βλίττεις] βλίττειν γὰρ τὸ ἀμέλγειν καὶ τὸν δῆμον. Γ2

book 794e βλίττεις] ἐκπιέζεις. Μ

book 794f βλίττεις] ἀμέλγεις· κυρίως δὲ τὸ ἐκπιέζειν τὰ κηρία τῶν μελισσῶν βλίττειν λέγεται. Lh

book 795 ἐξεσκέδασας: διετάραξας· δείκνυσιν οὖν ὅτι οὗτος ἦν αἴτιος τούτου. ΕΓ3Μ

book 796a (I) ῥαθαπυγίζων: τῇ πυγῇ ῥόθον ποιῶν, τουτέστι τὴν πυγὴν τῇ χειρὶ παίων ἢ τῷ ποδὶ τύπτων. VΕΓΘ (II) ἄλλως: λάθρα τύπτων κατὰ τῆς πυγῆς πλατείᾳ τῇ χειρὶ καὶ πλατεῖ τῷ ποδί. τῇ πυγῇ ῥόθον ποιῶν. γελοίου δὲ χάριν τούτῳ ἐχρήσατο. VΕΓΘΜ

book 796b προκαλοῦνται: παρέχουσιν, εὐτρεπίζουσιν. εὐκαίρως δὲ τῷ “προκαλοῦνται” ἐχρήσατο, ἵνα μᾶλλον τοὺς Λακεδαιμονίους ἐπιδικαζομένους τῆς εἰρήνης δείξῃ καὶ ἐπιθυμοῦντας. VΕΓΘ

book 796c αἳ] αἱ πρεσβεῖαι. Γ2

book 796d ῥαθαπυγίζων] τῇ χειρὶ ἢ τῷ ποδὶ ἐν τῇ πυγῇ ῥόθον ποιῶν. Lh

book 796e προκαλοῦνται] ἵνα δείξῃ τῆς εἰρήνης ἐπιθυμοῦντας τὸ “προκαλοῦνται” εἴρηκεν. Lh

book 797a ἐν τοῖς λογίοισιν] ἢ ἐν τοῖς χρησμοῖς, ἐν τοῖς θείοις λόγοις. Γ2

book 797b

Ἑλλήνων ἄρξῃ πάντων] πιθανῶς εἰσάγει τὰς ὑποσχέσεις τοῦ Κλέωνος περὶ τῶν ἐνεστηκότων καὶ μελλόντων. Lh

book 798a ὡς τοῦτον δεῖ ποτ’ ἐν Ἀρκαδίᾳ: νικήσαντα τοὺς Πελοποννησίους δικάσαι μέχρις Ἀρκαδίας, λαμβάνοντα μισθὸν πεντώβολον, ἀλλ’ οὐ τριώβολον. VEΓ3M

book 798b πεντώβολον] ὡς ἐν τῇ ἡλιαίᾳ λαβεῖν τῆς Ἀττικῆς πεντώβολον ἐν τῇ Ἀρκαδίᾳ νικήσαντα τοὺς Πελοποννησίους. Γ2

book 798c τοῦτον] δῆμον. Γ2

book 798d δεῖ] ἀπόκειται. Γ2

book 798e Ἀρκαδίᾳ] πόλις. Γ2

book 798f ποτ’] νικήσαντα τοὺς Πελοποννησίους. Lh

book 798g πεντώβολον ἡλιάσασθαι] δικάσαι λαμβάνοντα πεντώβολον ἢ τριώβολον. Lh

book 799 ἢν ἀναμείνῃ] ἐὰν ὑπομείνῃ καὶ πολεμῶν μὴ ὀκνήσῃ. EΓ2Lh

book 800a εὖ καὶ μιαρῶς: ἀλλήλοις ἐναντία. εἰ γὰρ εὖ, πῶς μιαρῶς; εἰ δὲ μιαρῶς, πῶς εὖ; πλὴν εἰ μὴ τοῦτο λέγει, ὅτι ἀνενδεῶς τὸ τριώβολον αὐτῶν φροντίσω καὶ ποιήσω λαμβάνειν, οὐ περιεργασόμενος οὔτε εἰ ἀπὸ δικαίου οὔτε εἰ ἀπὸ ἀδίκου πορισθήσεται τὰ πράγματα. πιθανῶς δὲ τὰς ὑποσχέσεις τοῦ Κλέωνος περὶ τῶν ἐνεστηκότων καὶ μελλόντων. VEΓΘ

book 800b ἐξευρίσκων] μηχανώμενος. Γ2

book 800c ἕξει] ὁ ἄρχων. V

book 800d εὖ καὶ μιαρῶς] ἐναντία ταῦτα· πλὴν εἰ μὴ τοῦτο λέγει, ὅτι οὐ περιεργάσομαι οὔτε εἰ ἐκ δικαίου οὔτε εἰ ἐξ ἀδίκου πορίσεσθε τὰ πράγματα. Lh

book 802 καὶ δωροδοκῇς] καὶ δῶρα δέχῃ· καὶ δωροδόκος, ὁ δῶρα δεχόμενος. Γ2

book 803a ὑπὸ τοῦ πολέμου καὶ τῆς ὁμίχλης: ὑπὸ τῶν περιεστώτων κακῶν καὶ τῶν τοῦ πολέμου δυσχερῶν συνεχόμενος μὴ ἐλέγχῃ τὰ σὰ κακουργήματα. ὁμίχλη δὲ ἐπὶ τοῦ τεθολωμένου ἀέρος καὶ μὴ διαυγοῦς μηδὲ λαμπροῦ τάσσεται. ὁ δὲ ὅλος νοῦς, ὅτι οὐ τῷ δήμῳ φίλα φρονῶν πείθεις αὐτὸν Ἀρκάσι πολεμεῖν, ἀλλ’ ἵνα περὶ τὸν πόλεμον ἀσχολούμενος μὴ περιεργάζηται τὰ σὰ πανουργήματα. VEΓΘM

book 803b ὁμίχλη κυρίως ἐπὶ τοῦ τεθολωμένου καὶ μὴ διαφανοῦς ἀέρος τάσσεται, νῦν δὲ ἐπὶ τῶν δυσχερῶν τοῦ πολέμου. λέγει δ’ ὅτι οὐ τῷ δήμῳ φίλα φρονῶν πείθεις αὐτὸν Ἀρκάσι πολεμεῖν, ἀλλ’ ἵνα περὶ τὸν πόλεμον ἀσχολούμενος μὴ περιεργάζηται τὰ σὰ πανουργήματα. Lh

book 803c τῆς ὁμίχλης] τῶν ἐκ τοῦ πολέμου δυσχερῶν. Lh

book 804a πρὸς σὲ κεχήνῃ] εἰς σὲ ἀποβλέπῃ καὶ πειθαρχῇ. E

book 804b κεχήνῃ] χάσκῃ καὶ ἀποβλέπῃ. Γ2

book 805a οὗτος] ὁ Δῆμος. Γ2

book 805b εἰρηναῖος] μετὰ εἰρήνης. Γ2

book 806a χίδρα: τινὲς ἄγρια λάχανα, οἱ δὲ τὰ ὄσπρια. κυρίως δὲ τὰ ἀπὸ χλωρᾶς κριθῆς. χίδρα δὲ εἴρηται παρὰ τὸ χεῖσθαι, ἢ τὰ τῇ χειρὶ δρεπόμενα. VEΓΘM

book 806b καὶ στεμφύλων εἰς λόγον ἔλθῃ: καὶ προσομιλήσῃ τοῖς στεμφύλοις, ἢ πλησιάσῃ. στέμφυλα δὲ ἐκάλουν οἱ παλαιοὶ τὰ τῶν ἐλαῶν ἀποπιέσματα· περιπτίσματα δὲ τὰ τῶν ἀμπέλων. VEΓΓ3ΘMLh

book 806c ἀναθαρρήσῃ] θαρσαλεώτερος γένηται. EΓ2Lh

book 806d εἰς λόγον ἔλθῃ] φροντίδα κοινωνήσῃ. Γ2

book 806e totus versus] ἀντὶ τοῦ ἀπερίεργόν τινα βίον ζήσῃ. Γ2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 806f χίδρα] ἄγρια λάχανα, οἱ δὲ ὄσπρια ἢ χλωρὰς κριθάς. Lh

book 806g στεμφύλων εἰς λόγον ἔλθῃ] προσομιλήσῃ τοῖς στεμφύλοις ἢ πλησιάσῃ. Lh

book 807a παρεκόπτου: παρῄρου, ἐλυμαίνου. ἀπὸ μεταφορᾶς τῶν παρακοπτομένων τὰ πτερὰ ὀρνέων. ἰδίως δὲ τὸν μισθὸν τῶν στρατευομένων οἱ παλαιοὶ μισθοφορὰν ἐκάλουν. φησὶν οὖν ὅτι τοῦ πολέμου ἀπαλλαγέντες ἐπιγνώσονται τὴν βλάβην, ἣν διὰ τῆς μισθοφορᾶς αὐτοὺς ἔβλαπτες, πλείονα αὐτοὺς ἀγαθὰ παραιρούμενος, ὧν ἀπολαύειν ἐδύναντο εἰρήνην ἄγοντες. VΕΓΘΜLh

book 807b παρεκόπτου] παρῄρου, ἐλυμαίνου. Lh

book 808a δριμὺς] ἤγουν ὀργῆς γέμων, τραχύς. ΕΓ2Lh

book 808b κατὰ σοῦ τὴν ψῆφον ἰχνεύων] καταδικάσαι προῃρημένος. ΕΓ2Lh

book 808c ἰχνεύων] ἐρευνῶν. Γ2

book 809a ἐξαπατᾷς καὶ ὀνειροπολεῖς περὶ σαυτοῦ: παρακρούῃ καὶ παραλογίζῃ καὶ παραπλανᾷς καὶ ὀνειροπολεῖς ὀνείρους ὁρῶν. VΕΓΘΜLh

book 809b ἃ] ὧν, πραγμάτων ἐκείνων. Γ2

book 809c ὀνειροπολεῖς] φαντάζῃ. Γ2

book 809d περὶ σαυτοῦ] περὶ τοῦ Δήμου. ΕΓ3

book 810 διαβάλλειν] ἤγουν διαβολῇ χρῆσθαι. Γ2

book 811 πεποιηκότα] καὶ ταῦτα δηλονότι. Γ2

book 813a ὦ πόλις Ἄργους] ἀπὸ τοῦ Τηλέφου Εὐριπίδου. τὸ δὲ “κλύεθ’ οἷα λέγει” ἀπὸ τῆς Μηδείας. ΕΓ2

book 813b σὺ] σὺ δεικτικῶς. ΕΓ3

book 814a (I) ἐπιχειλῆ: τουτέστι χείλη μὴ ἔχουσαν. αἰνίττεται δὲ διὰ τούτου τὴν ἱστορίαν Θεμιστοκλέους, ὅτι τὴν πόλιν ἐτείχισε, καὶ ταῦτα παρὰ γνώμην τῶν Πελοποννησίων ἀπατήσας αὐτούς. φασὶ γὰρ τῶν Λακεδαιμονίων μαθόντων ἐκτειχίζεσθαι τὰς Ἀθήνας καὶ μὴ ἐπιτρεπόντων, καταστρατηγῆσαι τὸν Θεμιστοκλέα ἐπὶ τῷ δεῖξαι τοῖς Λακεδαιμονίοις ὅτι ἐπὶ τῷ κοινῷ τῆς Ἑλλάδος συμφέροντι τειχίζοιεν τὴν πόλιν. χειροτονηθεὶς δὲ πρεσβευτὴς τοῖς μὲν Ἀθηναίοις ἔδωκεν ἐντολὰς τειχίζειν πάσῃ σπουδῇ τὴν πόλιν, μὴ φειδομένους μήτε ἰδίου μήτε δημοσίου τινὸς οἰκοδομήματος, τοῖς δὲ συμπρεσβευταῖς προσέταξε βράδιον ἐλθεῖν εἰς τὴν Λακεδαίμονα. αὐτὸς δὲ ἀφικόμενος ἐκεῖσε καὶ τῶν Λακεδαιμονίων ἀξιούντων αὐτὸν εἰς τὸ κοινὸν παρεῖναι, καὶ λέγειν ὧν χρήζων ἀφῖκται, τὸ μὲν πρῶτον εἰς τὴν παρουσίαν ὑπερετίθετο τῶν πρεσβέων· μὴ γὰρ ἀσφαλὲς ὑπάρχειν αὐτῷ κοινὰς ἐντολὰς λαβόντι μόνῳ ἀποπληρῶσαι τὴν πρεσβείαν. καὶ ἤσχαλλεν ὅτι μήπω παρεγένοντο. ὡς δὲ χρόνος ἱκανὸς

book 814a διεγένετο καὶ οἱ συμπρέσβεις παρῆσαν, ἤδη δὲ τοῦ τείχους ἱκανῶς προκεχωρηκότος τοῖς Λακεδαιμονίοις ἤγγελτο ὅτι τετειχισμέναι λοιπὸν εἶεν Ἀθῆναι, παρελθὼν ἔπειθεν αὐτοὺς μὴ ταχέως πιστεύειν τοῖς λεγομένοις, μηδὲ τοῖς βουλομένοις εἰς ἔχθραν καταστῆσαι τὴν πόλιν, ἀλλ’ ἐπιλεξαμένους αὐτῶν ἄνδρας τοὺς εὐνοίᾳ καὶ πίστει διαφέροντας ἐπόπτας ἐκπέμψαι. μέχρι δὲ τῆς ἐκείνων παρουσίας ὅμηρον ἑαυτὸν κατεπηγγέλλετο, κἂν τούτῳ τριβήν τινα χρόνου ἐμποιῶν. πεισθέντων οὖν Λακεδαιμονίων καὶ τοὺς μάλιστα διαφέροντας εὐνοίᾳ καὶ πίστει τῶν πολιτῶν πεμψάντων, λάθρα τοῖς Ἀθηναίοις πέμψας προσέταξε μὴ πρότερον τοὺς Λακεδαιμονίων ἄνδρας ὀπίσω πάλιν ἐλθεῖν ἐᾶσαι, πρὶν αὐτόν τε καὶ τοὺς συμπρέσβεις ἀπολύσωσι Πελοποννήσιοι. ἔστιν οὖν τὸ νόημα ὑπερβατόν. ὃ γὰρ λέγει, τοιοῦτόν ἐστιν· ὅστις ἐποίησε μεστὴν

book 814a

ἡμῶν καὶ ὁλόκληρον εὑρὼν τὴν πόλιν ἀτείχιστον οὖσαν. VEΓ3ΘMLh (II) ἄλλως: ἐπιχειλῆ: ἐνδεᾶ. ἐπιχειλὲς γὰρ μέτρον λέγεται τὸ μὴ πλῆρες, ἀλλ’ ἀπομεσούμενον. αἰνίττεται δὲ ὅτι αὐτὸς τὴν πόλιν ἐτείχισεν. VEΓΘ

book 814b ἐπιχειλῆ] ἐνδεᾶ. Lh

book 815a καὶ πρὸς τούτοις ἀριστώσῃ: καὶ πρὸς τούτοις ἄριστα τῆς πόλεως ἐχούσης. ἔπαιξε δὲ τὸ “ἀριστώσῃ” πρὸς τὰ ἐπιφερόμενα. VEΓΘM

book 815b τὸν Πειραιᾶ: καὶ τὸν Πειραιᾶ γὰρ ἐτείχισεν, ὃς ἀπεῖχε τῆς πόλεως σταδίους λε′, παρὰ θάλατταν ὤν. ἔπαιξε δὲ τὸ “ἀριστώσῃ” πρὸς τὰ ἐπιφερόμενα· πρὸς ὃ ἐπιφέρει καὶ τὸ “ἰχθῦς παρέθηκεν”. VEΓ3M

book 815c (I) προσέμαξεν: προσέθηκε, προσεκόλλησεν. μάττειν γὰρ λέγεται τὸ ἀναμιγνύναι καὶ φυρᾶν καὶ εἰς ἓν συνάγειν τὰ ἄλευρα. ἑξῆς οὖν τὸ μάττειν προσήνεγκε, διὰ τὸ προειρηκέναι “ἀριστώσῃ”. αἰνίττεται δὲ διὰ τούτων τὰ μακρὰ τείχη παρὰ τοῖς Ἀθηναίοις καλούμενα. μακρὰ δὲ ἐλέγοντο διὰ τὸ ἀπὸ τῆς πόλεως διήκειν μέχρι τοῦ Πειραιέως. VEΓΘM (II) ἄλλως: ἐμπόριον ὁ Πειραιεὺς τῶν Ἀθηναίων, ἐπὶ τῇ θαλάττῃ κείμενος, ἀπὸ πέντε τῆς πόλεως σημείων. VEΓ3Θ

book 815d καὶ οὕτως ἐτείχισε καὶ τὸν Πειραιᾶ, ἀπέχοντα τῆς πόλεως σταδίους λε′, παρὰ θάλατταν ὄντα. πρὸς δὲ τὸ “ἀριστώσῃ” παίζων ἐπήγαγε τὸ “ἰχθῦς παρέθηκεν”. Lh

book 815e ἀριστώσῃ] ἄριστα ἐχούσῃ τῇ πόλει· καὶ τὸν Πειραιᾶ γὰρ ἐτείχισεν. Lh

book 815f προσέμαξεν] προσπαρέθηκε, προσεκόλλησε. Lh

book 816a ἰχθὺς καινοὺς παρέθηκεν: οἷον ἐκ τοῦ Πειραιέως ἐποίησεν αὐτὸν ἰχθύας ἔχειν. τὸν γὰρ Πειραιᾶ Θεμιστοκλῆς προσέβαλε τῇ πόλει. τὸ δὲ “παρέθηκε”, προσέθηκε, προσεκόλλησε τὰ μακρὰ τείχη. VEΓΘ

book 816b ἰχθῦς παρέθηκεν] οἷον ἐκ τοῦ Πειραιῶς ἐποίησεν αὐτοὺς ἰχθύας ἔχειν. προσεκόλλησε τὰ μακρὰ τείχη λεγόμενα μέχρι τοῦ Πειραιῶς. Lh

book 817 μικροπολίτας: διὰ τὴν ἐκ τοῦ πολέμου στενοχωρίαν τῶν ἀναλωμάτων καὶ τὴν τῶν ἀνδρῶν σπάνιν συνέστειλαν τὰ τείχη. VEΓΓ2ΘMLh

book 818 διατειχίζων: συνάγων καὶ συστέλλων τὰ τείχη. διὰ γὰρ τὸν πόλεμον καὶ τὰ ἐπὶ τοῖς φρουρίοις ἀναλώματα καὶ τὴν τῶν ἀνδρῶν σπάνιν συνέστειλαν τὰ τείχη. VEΓΘMLh

book 819a κἀκεῖνος μὲν φεύγει τὴν γῆν: ἐξωστράκισε γὰρ τὸν Θεμιστοκλέα ὁ δῆμος· ἢ διὰ τὸν χρησμόν φησι τοῦτο. VEΓΘM

book 819b σὺ δ’ Ἀχιλλείων ἀπομάττῃ: σὺ δὲ τῆς ἐν πρυτανείῳ σιτήσεως μετέχεις. ἐκαλοῦντο γὰρ Ἀχίλλειαι κριθαί τινες καθαραὶ ⟦ὡς εὐγενεῖς αὗται⟧. VEΓΘM

book 819c κἀκεῖνος μὲν φεύγει τὴν γῆν] ὁ δῆμος ἐξωστρακίσθη ἀπὸ τῆς γῆς. Γ2

book 819d ἀπομάττῃ] ἀπολαύῃς. Γ2

book 819e κἀκεῖνος μὲν φεύγει] ἐξωστράκισε γὰρ αὐτὸν ὁ δῆμος, τὸν Θεμιστοκλέα. Lh

book 819f Ἀχιλλείων] κριθῶν καθαρῶν οὕτως ὠνομασμένων ὡς εὐγενῶν. Lh

book 821a μὴ σκέρβολλε: μὴ λοιδόρει. δηλοῖ δὲ καὶ τὸ κερτομεῖν. κεῖται δὲ νῦν ἡ λέξις ἀντὶ τοῦ μὴ ποίκιλλε. καὶ Καλλίμαχος “σκέρβολα μυθήσαντο”. VEΓΘLh

book 821b ὁτιή] διότι. Γ2

book 821c πονηρά] πικρά. EΓ3

book 822a

ἐγκρυφιάζων: ἐμφωλεύων καὶ ἀποκρύπτων. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐλάνθανές με ῥᾳδιουργῶν περὶ τὴν πόλιν. ἀπὸ δὲ τοῦ ἐγκρυφίου ἄρτου μετήνεγκεν. οἷον λανθάνων καὶ ἐγκρύπτων σεαυτόν. VΕΓΘ

book 822b πολλοῦ] πρὸ πολλοῦ. Γ2

book 822c ἐλελήθεις] λείπει καὶ νῦν. Γ2

book 822d ἐγκρυφιάζων] ἀπὸ τοῦ ἐγκρυφίου ἄρτου μετήνεγκε τὸ "ἐγκρυφιάζων", ἤγουν ἐμφωλεύων καὶ ἀποκρύπτων σεαυτόν. Lh

book 824a (ad vv. 824—35) διπλῆ δὲ καὶ εἴσθεσις εἰς περίοδον ἀναπαιστικὴν τετρακαιεικοσίμετρον δωδεκάκωλον. VΕΓΘ

book 824b ὁπόταν χασμᾷ: ὁπότε μετεωροφρονεῖς· οἷον, περὶ ἄλλα τὴν διάνοιαν ἔχεις. VΕΓΘLh

book 824c χασμᾷ] χάσκης. Γ2

book 825a τῶν εὐθυνῶν: τῶν δικῶν, λογισμῶν. οἱ γὰρ χειρίσαντές τι τῶν κοινῶν καὶ διοικήσαντες τῶν ἀνηλωμένων χρημάτων εὐθύνας καὶ λογισμοὺς ἐδίδοσαν. VΕΓΘ

book 825b ἐκκαυλίζων: ἀπὸ τῶν τὰ λάχανα ἀποκλώντων τῇ μεταφορᾷ ἐχρήσατο· οἷον ἀνασπῶν καὶ ἀναιρῶν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· μισθὸν λαμβάνων παρὰ τῶν διοικούντων τὰ κοινὰ ἐκκόπτει αὐτῶν τὰς δίκας, ἵνα μὴ ὁ δῆμος εὐθύνας λαμβάνειν παρ' αὐτῶν δύνηται. VΕΓΘΜ

book 825c εὐθυνῶν] δικῶν, κρίσεων. Γ2

book 825d ἐκκαυλίζων] συντρίβων. Γ2

book 825e εὐθυνῶν] τῶν δικαίων παραλογισμῶν. Lh

book 825f ἐκκαυλίζων] ἀνασπῶν καὶ ἀναιρῶν. Lh

book 826a καταβροχθίζει: καταπίνει. VΕΓΓ2Θ

book 826b 〈ἀμφοῖν χειροῖν〉: ἀμφοτέραις ταῖς χερσί, τουτέστιν ἀπλήστως καὶ λαβρῶς καὶ ἀφειδῶς. VΕΓΘ

book 826c καταβροχθίζει] λάβρως καταπίνει. Lh

book 826d ἀμφοῖν χειροῖν] ἀμφοτέραις χερσί. Lh

book 827a (I) μυστιλᾶται: κατατρώγει. ἰδίως δὲ παρὰ τοῖς Ἀττικοῖς μυστίλην ἐκάλουν τὸν ἄρτον τὸν τοῖς κυσὶ παραβαλλόμενον. VΕΓΘΜ (II) ἄλλως: μυστίλη ὁ κοῖλος ἄρτος, ᾧ δύναταί τις καὶ ζωμὸν ἀρύσασθαι. VΕΓ3ΘΜ

book 827b μυστιλᾶται] κατατρώγει· μύστιλον γὰρ τὸν κοῖλον ἄρτον ἔλεγον Ἀττικοί. Lh

book 828 οὐ χαιρήσεις] οὐ χαίρων ἀπαλλάξεις. ΕΓ2

book 829a (I) αἱρήσω: διελέγξω· ἔλαβε δὲ τοῦτο ἀπὸ τοῦ "χαιρήσεις". VΕΓΘΜ [para](II) ἄλλως: κλοπῆς σου κατηγορήσας καταδίκης αἴτιός σοι γενήσομαι, νικήσας σε. VΕΓ3

book 829b αἱρήσω] διελέγξω, φθερῶ, ἀπὸ τοῦ χαιρήσω. Lh

book 830a (I) τί θαλαττοκοπεῖς: ἐθαλαττοκράτουν γὰρ οἱ Ἀθηναῖοι· ὡς τοῦ Κλέωνος συνεχῶς προφερομένου τὴν κατὰ θάλατταν δυναστείαν. πλατυγίζειν δὲ κυρίως τὸ ἐπιτιθέναι πλαταγώνιον τῇ ἀριστερᾷ χειρὶ καὶ παίειν τῇ δεξιᾷ καὶ ἦχον ἀποτελεῖν. VΕΓ3ΘΜ (II) ἄλλως: τί ταράττῃ καὶ θορυβῇ; ἔλαβε δὲ τὴν χρῆσιν τοῦ ὀνόματος ἀπὸ τῆς θαλάττης. ἐπειδὰν γὰρ ὑπὸ σφοδροτέρων ἀνέμων ταραχθῇ τὰ κύματα, ἀλλήλοις συγκρούουσιν. VΕΓΘΜ

book 830b 〈θαλαττοκοπεῖς καὶ〉 πλατυγίζεις: ἄμφω μεγαλορρημοσύνης δείγματα. τί, φησί, μεγαλορρημονεῖς καὶ πλατύνῃ καὶ ἀλαζονεύῃ; ἀπὸ δὲ τοῦ πλατυτέρου μέρους τῆς κώπης, ὃ τῇ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θαλάττῃ μᾶλλον προσερείδεται καὶ τύπτον τὸ ὕδωρ τῇ εἰρεσίᾳ ἀπεργάζεται κτύπον, ἡ μεταφορά. ἀκολούθως δὲ τῷ “θαλαττοκοπεῖς” ἐπήγαγε τὸ “πλατυγίζεις”. VEΓΘM

book 830c totus versus] ταράττῃ καὶ θορύβει καὶ ἀλαζονεύῃ· τὴν χρῆσιν δὲ ἔσχε τῶν ῥημάτων ἀπὸ τῆς θαλάττης καὶ τῆς πλάτης, ἤτοι τῆς κώπης. Lh

book 831 ὢν] καὶ ταῦτα. Γ2

book 834a δωροδοκήσαντ’ ἐκ Μιτυλήνης: ὄντως ἐδωροδόκησεν ὁ Κλέων ἐκ Μιτυλήνης. οὐ μόνον δὲ τὸ δῶρα διδόναι καὶ ἀναπείθειν, ἀλλὰ καὶ τὸ λαμβάνειν δωροδοκῆσαι λέγεται. πόλις δὲ Λέσβου τῆς νήσου Μιτυλήνη, φίλη μὲν Ἀθηναίοις καὶ σύμμαχος, ὕστερον δὲ νεωτερίσασαν καὶ ἀποστᾶσαν κατέστρεψαν μὲν πάλιν οἱ Ἀθηναῖοι Χάρητος στρατηγοῦντος, συμβουλεύσαντος δὲ Κλέωνος ἐψηφίσαντο παῖδας μὲν καὶ γυναῖκας ἡβηδὸν ἀποκτεῖναι Μιτυληναίων, ἐξανδραποδίσασθαι δὲ πᾶσαν τὴν πόλιν. καὶ ναῦν ἐξέπεμψαν εὐθὺς ἀγγέλλουσαν τὰ βεβουλευμένα τῷ Χάρητι. τῇ δευτεραίᾳ δὲ μετανοοῦντας αἰσθόμενος ἐπὶ τοῖς γνωσθεῖσι Διόδοτος, εἷς καὶ αὐτὸς ὢν τῶν πολιτευομένων τότε, γενομένης δὶς τῆς ἐκκλησίας, καὶ οὐδὲν 〈οὐκ〉 ἀντιλέγοντος τοῦ Κλέωνος, καὶ παρακελευομένου ἅπαξ τοῖς δόξασιν ἐμμένειν, παρελθὼν μεταγνῶναι τοὺς Ἀθηναίους ἔπεισεν. ἦσαν γὰρ καὶ ἄλλοι τινὲς τὰ τῶν Μιτυληναίων φρονοῦντες, οὐ μὴν ἀλλὰ καὶ αὐτῶν ἄνδρες Μιτυληναίων κατά τινα πρεσβείαν ἀφιγμένοι πείθουσι διὰ τάχους ἑτέραν πέμψαι τριήρη, ἀπαγορεύουσαν τῷ Χάρητι μηδὲν

book 834a διαπράξασθαι τῶν πρότερον ἐπεσταλμένων. τοὺς δὲ ναύτας τῆς δευτέρας τριήρους τῇ τε ἄλλῃ παρακλήσει καὶ δώρων ὑποσχέσει προὐτρέψαντο πάσῃ σπουδῇ περὶ τὸν πλοῦν χρήσασθαι προθύμως, ὡς ἂν τὴν προτέραν τριήρη φθάσαιεν. οἱ δέ, ἅτε καὶ ἐπὶ χρηστὸν πλέοντες πρᾶγμα καὶ ταῖς παρακλήσεσιν εἴξαντες, τοσαύτῃ περὶ τὴν εἰρεσίαν ἐχρήσαντο σπουδῇ, ὥστε οὐκ ἔφθη καταπλεύσασα ἡ προτέρα ναῦς, καὶ ὁ Χάρης λαβὼν τὰ γράμματα, .... παρὰ τοσοῦτον κινδύνου ἡ Μιτυλήνη ἦλθεν. ἀπὸ ταύτης οὖν φησιν αὐτὸν ἐπιδείξειν τὸ ἀργύριον εἰληφότα, λεληθότως δὲ πάλιν αὐτὸν εἰς ὠμότητα διαβάλλει τῶν τρόπων. οὐ γὰρ φαίνεται λαβὼν πλεῖν ἢ μνᾶς μ′ παρὰ τῶν Μιτυληναίων ὁ Κλέων μισθόν. πιθανῶς δὲ ἐπλάσατο αὐτὸν εἰληφέναι, ἐπειδὴ

book 834a ἐκεῖνός φησιν αὐτὸν δέκα μυριάδας πόλεως κεκλοφέναι. φιλονεικεῖ δὲ ἐν πᾶσιν αὐτὸν ἀμείβεσθαι τοῖς ἴσοις. VEΓ3ΘM

book 834b ἱστορία ὅπως παρεστήσατο Χάρης Λέσβον: πόλις Λέσβου τῆς νήσου Μιτυλήνη, φίλη μὲν Ἀθηναίων καὶ σύμμαχος, ὕστερον δὲ νεωτερίσασαν καὶ ἀποστᾶσαν κατέστρεψαν Ἀθηναῖοι Χάρητος στρατηγοῦντος. συμβουλευσαμένου δὲ Κλέωνος ἐψηφίσαντο παῖδας μὲν καὶ γυναῖκας ἀποκτεῖναι Μιτυληναίων, ἐξανδραποδίσαι δὲ πᾶσαν τὴν πόλιν. καὶ ναῦν εὐθὺς ἐξέπεμψαν ἀγγέλλουσαν τὰ βεβουλευμένα τῷ Χάρητι. Διόδοτος δὲ εἷς ὢν τῶν πολιτευομένων αἰσθόμενος μεταγνόντας ἐπὶ τοῖς προτέροις, δευτέρας ἐκκλησίας γενομένης, παρελθὼν πείθει αὐτοὺς μεταβουλεύσασθαι ἐπὶ τοῖς δεδογμένοις. οὐ μὴν ἀλλὰ καὶ τῶν Μιτυληναίων ἄνδρες κατά τινα πρεσβείαν ἀφιγμένοι πείθουσι δώροις τὸν Κλέωνα συμβουλεύσασθαι Ἀθηναίοις ἀνατρέψαι ἃ πρότερον αὐτοῖς κατὰ τῶν Μιτυληναίων συνεβουλεύσατο. καὶ πείσας αὐτοὺς ἑτέραν αὖθις ναῦν ἐκπέμπει πάσῃ σπουδῇ, ἀπαγορεύουσαν μηδὲν διαπράξασθαι τὸν Χάρητα τῶν πρότερον ἐπεσταλμένων· οἱ δὲ ἐν αὐτῇ τοσούτῳ τάχει ἐχρήσαντο ὥστε καταλαβεῖν τὴν προτέραν ναῦν μήπω φθάσασαν κατᾶραι εἰς τὸν λιμένα.

book 834b Χάρης δὲ λαβὼν τὰ δεύτερα γράμματα ἀπέστη τοῦ κακόν τι ποιῆσαι Μιτυληναίους. παρὰ τοσοῦτον κινδύνου ἦλθεν ἡ Μιτυλήνη. ἀπὸ ταύτης οὖν φησὶν αὐτὸν ἀποδείξειν ἀργύριον εἰληφότα. τοῦτο δὲ εἶπεν, ἐπειδὴ πρότερον ἐκεῖνος αὐτόν φησι δώδεκα μυριάδας ἐκ τῆς πόλεως κεκλοφέναι, φιλονεικῶν τοῖς ἴσοις ἀμείβεσθαι. Lh

book 834c δωροδοκήσαντ’] δῶρα λαβόντα. Lh

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 834d Μιτυλήνης] πόλις Λέσβου τῆς νήσου. Lh

book 836 (ad vv. 836—910) ὦ πᾶσιν ἀνθρώποις: διπλῆ καὶ ἔκθεσις οὐ κατ’ ἴσον τοῖς ἀναπαίστοις εἰς ἰάμβους τετραμέτρους καταληκτικοὺς οε′. VΕΓΘ

book 837a εἰ γὰρ ὧδ’ ἐποίσεις: εἰ γὰρ εἰς τέλος ἐναντιούμενος αὐτῷ παραμείνῃς πρὸς τὴν γραφὴν τῆς κατηγορίας· εἰ γὰρ οὕτω τῇ κατηγορίᾳ χρήσῃ. VΕΓ3Μ

book 837b ὧδ’ ἐποίσεις] ἤγουν οὕτω τῇ κατηγορίᾳ χρήσῃ. Γ2Lh

book 838 καθέξεις] μέλλεις κατακρατήσειν. Γ2

book 839a τῶν συμμάχων τ’ ἄρξεις: ἔπαιξε παρὰ τὸ θαλασσοκρατεῖν τοὺς Ἀθηναίους καὶ τοὺς νησιώτας ἔχειν ὑποτελεῖς φόρων. VΕΓ2ΜLh

book 839b τῶν συμμάχων] ἐκφέρων τοὺς ὑπηκόους. ΕΓ3

book 839c ἔχων τρίαιναν] ἐπειδὴ ἐθαλασσοκράτουν. Ε

book 840a ἐργάσῃ: συνάξεις. τὸ δὲ “σείων” οἷον διασείων καὶ ἀπαιτῶν. VΕΓ3ΜLh

book 840b ἐργάσῃ] ἤγουν τῇ τριαίνῃ. Γ2

book 841a λαβήν: ἀφορμήν, λῆμμα, ὡς παλαιστῇ. VΕΓ3ΜLh

book 841b μὴ] ὅρα ἵνα ... καὶ ἐᾶν. Γ2

book 841c λαβὴν] ὡς ἐπὶ παλαιστοῦ. Γ2

book 842a κατεργάσῃ γάρ: νικήσεις, περιέσῃ αὐτοῦ σῶμα ἔχων ἰσχυρὸν καὶ στερρότατον, τουτέστιν ἑταιρίαν ἔχων τοιαύτην. VΕΓ2ΜLh

book 842b κατεργάσῃ] καὶ ἀπολέσεις. Γ2

book 842c πλευρὰς .... τοιαύτας] ἤγουν συμμάχους τοιούτους, τουτέστιν ἡμᾶς. Γ2

book 842d . Lh

book 843a οὐκ ὦγαθοί: οὐ ταῦτα τοῦτον ἕξει τὸν τρόπον, ὡς ὑμεῖς φατὲ καὶ προσδοκᾶτε. VΕΓ2Lh

book 843b μὰ τὸν Ποσειδῶ: ὅτι περὶ τριαίνης εἰπὼν καὶ “σείων καὶ ταράττων” τὸν Ποσειδῶνα ὄμνυσιν. VΕΓ3Μ

book 843c τὸν Ποσειδῶνα δὲ ὄμνυσι πρὸς τὰ ὑπὸ τοῦ χοροῦ ῥηθέντα. Γ2

book 843d ταύτῃ] κατά τινα τρόπον, οὕτως. Γ2

book 843e (ad vv. 843—910) οὐκ ὦγαθοὶ ταῦτ’ ἐστίν: εἴσθεσις ἑτέρας διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν τετραμέτρων καταληκτικῶν ξη′, ὧν τελευταῖος “ἀπομυξάμενος ὦ Δῆμ’ ἐμοῦ πρὸς τὴν κεφαλὴν ἀποψῶ”. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος· ἐπὶ δὲ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Lh

book 843f μὰ τὸν Ποσειδῶ] οὕτως πρὸς τὰ εἰρημένα, τὸ “τρίαιναν σείων καὶ ταράττων”, καὶ αὐτὸς τὸν Ποσειδῶνα ὄμνυσιν. Lh

book 845a ἐπιστομίζειν: κατασιγάζειν, ἐπὶ στόμα ἔχειν τῶν κατ’ ἐμοῦ, λέγων καὶ διαβάλλων, μηδὲ φωνὴν ἐᾶν προϊέναι. VΕΓ3Μ

book 845b ἐπιστομίζειν] κατασιγάζειν. Lh

book 846a τῶν ἀσπίδων τῶν ἐκ Πύλου: πάλιν ὁ Κλέων τὰ περὶ Πύλον θρυλεῖ καὶ Σφακτηρίαν καὶ τὰ τῶν αἰχμαλώτων. ἔθος δὲ ἦν τὰ ἀπὸ τῶν πολεμίων ὅπλα ἐν τοῖς ἱεροῖς ἀνατιθέναι. ἕως οὖν, φησίν, ἀνάκειται τὰ ἀπὸ Πύλου καὶ Σφακτηρίας ὅπλα, ἅπερ ἀνέθηκα τοῖς θεοῖς νικήσας, οὐδεὶς τῶν ἐχθρῶν τολμήσει κατ’ ἐμοῦ λέγειν. VΕΓΘΜLh

book 846b ἕως ἂν ᾖ τι τῶν ἀσπίδων: τὴν Πύλον λέγει. πιθανῶς δὲ τὸν Κλέωνα ἑνὶ μόνῳ κατορθώματι ποιεῖ ἐπερειδόμενον. Μ

book 846c

τῶν ἐκ Πύλου] ὄντων. Γ2

book 846d τῶν ἀσπίδων] ἅσπερ ἀνέθηκα τοῖς θεοῖς νικήσας καὶ παραστησάμενος Πύλον. Lh

book 847 λαβὴν γὰρ ἐνδέδωκας: κατὰ σεαυτοῦ. οἷον ἀφορμὴν κατὰ σοῦ κατηγορίας. ἀπὸ δὲ τῶν ἀσπίδων τὴν λαβὴν εἶπεν. VEΓ3MLh

book 848a ἐκ προνοίας] ἐξεπίτηδες. EΓ3Lh

book 848b προνοίας] προμηθίας. Γ2

book 849a αὐτοῖσι τοῖς πόρπαξι: σὺν αὐταῖς ταῖς ὀχάναις. πόρπαξ, ἐν ᾧ τὴν ἀσπίδα κατέχουσι, ὃ καλεῖται ὀχάνη. ἀνετίθεσαν δὲ τὰ ἐκ τῶν πολεμίων ὅπλα ἄνευ τῶν ὀχάνων, ἵνα μὴ ἑτοίμως ἔχωσιν αὐτοῖς χρῆσθαι. VEΓΘM

book 849b ταύτας] ἤγουν τὰς ἀσπίδας. Γ2

book 849c τοῖς πόρπαξι] ἤγουν τὰ ὀχάνικα. Γ2

book 849d μέσον τῶν ἀσπίδων ἦν πόρπαξ, ὅνπερ ὀχάνην ἐκάλουν, δι’ ἧς ἔφερον τὴν ἀσπίδα. περιφερὴς δὲ οὖσα ἡ ἀσπὶς ἐκινεῖτο κυκλικῶς διὰ τοῦ πόρπακος. ἀνετίθεσαν δὲ ταύτας τὰς ἀσπίδας ἄνευ τοῦ πόρπακος, ἵνα μὴ ἑτοίμως αὐταῖς ἔχωσι χρῆσθαι. Lh

book 849e τοῖς πόρπαξι] ταῖς ὀχάναις ἐν αἷς τὴν ἀσπίδα κατέχουσι· μέσον γὰρ τῶν ἀσπίδων ἦν πόρπαξ. Lh

book 850a μηχάνημα] στρατήγημα, πανούργημα. EΓ3

book 850b μηχάνημα] πανουργία. Lh

book 851a τοῦτο] τὸ κολάσαι. EΓ3Lh

book 851b ἐκγένηται] δυνατὸν γένηται. Γ2

book 851c ἐκγένηται] ἐκτελεσθῇ. Lh

book 852a στῖφος: σύστημα, πλῆθος. τοῦτο δὲ ἔτρεφεν ὁ Κλέων, ἵνα ἔχῃ, φησί, συνερχόμενον αὐτῷ πρὸς τὴν πολιτείαν. VEΓΘ

book 852b στῖφος] σύστημα, πλῆθος. Γ2Lh

book 853a νεανιῶν] ἤγουν νέων ἀνδρῶν. ἀπὸ τοῦ εἴκοσι δὲ καὶ ἐπάνω ἐστὶ νεανίας. Γ2

book 853b τούτους περιοικοῦσι] ἤγουν κύκλῳ κατοικοῦσι τούτων. Γ2

book 854a εἰς ἕν ἐστι συγκεκυφός: συνελθόν· ἀντὶ τοῦ ὁμονοοῦσιν ἑαυτοῖς καὶ συμπνέουσιν. VEΓ3M

book 854b συγκεκυφός] συντεῖνον, συντρέχον. Γ2

book 854c συγκεκυφός] ὁμονοοῦν, ἀντὶ τοῦ συνελθόντες αὐτῷ συμπνέουσιν. Lh

book 855a ὥστε εἰ σὺ βριμήσαιο: εἰ βουληθείης αὐτὸν ἐξοστρακίσαι, τουτέστιν ἐξορίσαι. παροξῦναι δὲ δεῖ τὸ ὀστρακίνδα καὶ πάντα τὰ τοιαῦτα ἐπὶ παιδιᾶς τασσόμενα. ΓΘ

book 855b ὀστρακίνδα: ἔστι μὲν ὄνομα παιδιᾶς. θέλει δὲ εἰπεῖν, εἰ θελήσειας αὐτὸν ἐξοστρακισθῆναι. ὁ δὲ τρόπος τοιοῦτος τοῦ ἐξοστρακισμοῦ. προεχειροτόνει ὁ δῆμος ὄστρακον εἰσφέρειν, καὶ ὅταν δόξῃ, ἐφράττετο σάνισιν ἡ ἀγορὰ καὶ κατελείποντο εἴσοδοι δέκα, δι’ ὧν οἱ εἰσιόντες κατὰ φυλὰς ἐτίθεσαν ὄστρακον, ἐντιθέντες τὴν ἐπιγραφήν. ἐπεστάτουν δὲ οἵ τε ἐννέα ἄρχοντες καὶ ἡ βουλή. ἀριθμηθέντων δέ, ᾧ πλεῖστα γένοιτο καὶ μὴ ἐλάττω ἑξακισχιλίων, τοῦτον ἔδει ἐν δέκα ἡμέραις μεταστῆναι τῆς πόλεως. εἰ δὲ μὴ γένοιτο ἑξακισχίλια, οὐ μεθίστατο. οὐ μόνον δὲ Ἀθηναῖοι ὠστρακοφόρουν, ἀλλὰ καὶ Ἀργεῖοι καὶ Μιλήσιοι καὶ Μεγαρεῖς. σχεδὸν δὲ οἱ χαριέστατοι πάντες ὠστρακίσθησαν, Ἀριστείδης, Κίμων, Θεμιστοκλῆς, Θουκυδίδης, Ἀλκιβιάδης. μέχρι δὲ Ὑπερβόλου ὁ ὀστρακισμὸς προελθὼν ἐπ’ αὐτοῦ κατελύθη, μὴ ὑπακούσαντος τῷ νόμῳ διὰ τὴν ἀσθένειαν τὴν γεγενημένην τοῖς Ἀθηναίων πράγμασιν ὕστερον. VEΓΘMLh

book 855c βριμήσαιο] τουτέστιν ἀπειλήσειας, ὀργισθείης. ΕΓ2

book 855d totus versus] ἤγουν εἰ βουληθείης αὐτὸν ἐξορίσαι. Lh

book 855e ὀστρακίνδα] ὄνομα παιδιᾶς. Lh

book 857a τὰς εἰσβολὰς τῶν ἀλφίτων: τὰ σιτοφυλάκια, τὰς ἀποθήκας παραλάβοιεν φθάσαντες. ἢ εἰσβολὰς ὡσεὶ ἔλεγε τὰς τῆς χώρας. εἰσβολὰς δὲ ἔλεγον τοὺς τόπους δι' ὧν εἰσέβαλλον οἱ πολέμιοι. VΕΓΘΜ

book 857b τὰς εἰσβολὰς τῶν ἀλφίτων] ἤγουν τὰ σιτοφυλάκια. Lh

book 858a ἔχουσι γὰρ πόρπακας: ὡς δέον τὰς ἀνατιθεμένας ἀσπίδας μὴ ἔχειν πόρπακας, ὑπὲρ τοῦ μὴ ἐξεῖναι τοῖς ἐπιχειροῦσι κατὰ τοῦ δήμου ἐξ ἑτοίμου χρήσασθαι ταῖς ἀσπίσιν. VΕΓΘΜLh

book 858b ἔχουσι] αἱ ἀσπίδες. Γ2

book 859a κρουσιδημῶν: ἀντὶ τοῦ κατακρούων τῇ βοῇ. ἐλυμαίνου τὸν Δῆμον, ἀπατῶν καὶ παρακρουόμενος τῇ βοῇ. ἔστι γὰρ παρὰ τὸ κρουσιμετρεῖν, ὃ λέγεται ἐπὶ τῶν τοῖς μέτροις παραλογιζομένων. VΕΓΘΜ

book 859b παρεκόπτου] παρεκρούου, ἠπάτας. Γ2

book 859c κρουσιδημῶν] παρακρούων καὶ ἀπατῶν τὸν δῆμον. Lh

book 860a μὴ τοῦ λέγοντος ἴσθι] μὴ τοῖς διαβάλλουσι πείθου. ΕΓ3

book 860b ἴσθι] ὕπαρχε. Γ2

book 861 ὢν] καὶ ταῦτα. Γ2

book 863a ἐν τῇ πόλει ξυνιστάμενον] κατὰ τῆς πόλεως τινῶν λογιζομένων καὶ ὁμοῦ συνισταμένων. ΕΓ2

book 863b ξυνιστάμενον] γινόμενον. Γ2

book 863c εὐθέως] παρευθύς. Γ2

book 863d κέκραγα] βοῶ. Γ2

book 863e ξυνιστάμενον] ὃ κατὰ τῆς πόλεως τινὲς κακὸν κατεσκεύαζον. Lh

book 864 ἐγχέλεις] ἡ ἔγχελυς τῆς ἐγχέλυος. Γ2

book 865a καταστῇ: κατάστασιν λάβῃ, ἐν εὐδίᾳ ᾖ. ἐπειδὴ αἱ ἐγχέλεις, μὴ δυνάμεναι νήχεσθαι, ἐν τῇ ἰλύϊ εἰσίν. οἱ οὖν θηρῶντες τὸ ὕδωρ ταράττοντες ἀγρεύουσι τὰς ἐγχέλεις. VΕΓΘΜLh

book 865b καταστῇ] κατάστασιν λάβῃ. Γ2

book 867 αἱροῦσι] λαμβάνουσι. Γ2

book 869a κάττυμα] τομάτιον. Γ2

book 869b παρὰ σεαυτοῦ] ἀπό, ἤγουν ἀπὸ τοῦ οἰκείου θελήματος. Γ2

book 871 ἔγνωκας] πρὸς τὸν Δῆμον λέγει τοῦτο. Γ2

book 872 ζεῦγος πριάμενος: πλείονα εὔνοιαν ἔδειξεν, ὅτι καὶ πριάμενος ἔδωκεν, ὁ δὲ ἔχων προῖκα οὐ δέδωκεν· οὐδ' εἴ τι χρήσιμον ἔχει, τῇ πόλει χαρίζεται. VΕΓΘΜLh

book 873 ὅσων] διά. Γ2

book 874 τοῖσι δακτύλοισι: πρὸς τὸ μὴ πταίειν διὰ τὰς ἐμβάδας· ἅμα δὲ καὶ τοῖς δακτύλοις τῶν χειρῶν, διὰ τὸ μὴ κλέπτειν. VΕΓΘLh

book 876 ὅσων] τῶν πραγμάτων, ἢ ἕνεκα ἐκείνων. Γ2

book 877a (I) τὸν Γρύττον ἐξαλείψας: οἱ μὲν ἀντὶ τοῦ τὸ τυχὸν ⟦τῆς πορνείας ἐξαλείψας,⟧ παρὰ τὸν ἐν τοῖς ὄνυξι ῥύπον, ὃν λέγουσι γρῦ. οἱ δὲ Γρύττον τινὰ ἐπὶ κιναιδίᾳ διαβάλλουσι. τῶν ἐπὶ μαλακίᾳ γὰρ διαβαλλομένων ὁ Γρύττος. οἱ δὲ Γρύππον διὰ τοῦ πῖ· ὃς ἦν καταπύγων. VΕΓΘΜ (II) ἄλλως:

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑγρόν τινα καὶ κατωφερῆ, ὃς διὰ τὴν πολλὴν ὑγρότητα ἐν τοῖς ἑταιρείοις διέτριβεν. ὁ δὲ Κλέων δημαγωγῶν θάνατον αὐτῷ ἐπέθηκε τὴν ζημίαν. VEΓΘ

book 877b βινουμένους] πορνευομένους. Γ2Lh

book 877c τῶν ἐπὶ κιναιδίᾳ διαβαλλομένων ὁ Γρύττος, ὃς διὰ τὸ ὕγρος τις εἶναι καὶ καταφερὴς πρὸς λαγνείαν ἐν τοῖς ἑταιρείοις διέτριβεν. ὁ δὲ Κλέων δημαγωγῶν θάνατον αὐτῷ ἐπέθηκε τὴν ζημίαν. Lh

book 877d Γρύττον] τὸν ῥύπον τῆς πορνείας, ἢ Γρύττον τινὰ πόρνον διαβάλλει. Lh

book 878a πρωκτοτηρεῖν: πρωκτὸν ἐπιτηρεῖν τῶν πορνευομένων. VEΓ3MLh

book 878b πρωκτοτηρεῖν] σκοπεῖν καὶ τηρεῖν. Γ2

book 879 τοὺς κινουμένους] τοὺς πορνευομένους. Lh

book 880 ἵνα μὴ ῥήτορες γένοιντο: ἀπείρητο γὰρ τοῖς τοιούτοις ἀγορεύειν. διαβάλλει δὲ τοὺς ῥήτορας ὡς τοιούτους. VEΓΘMLh

book 881a τονδὶ] ἤγουν τὸν Δῆμον. Γ2

book 881b τηλικουτονὶ] ἤγουν γέροντα. Γ2

book 882a (I) ἀμφιμασχάλου: χειριδωτοῦ ἱματίου, οἳ δὲ δουλικοῦ. VEΓΘLh (II) ἄλλως: μικροῦ χιτωνίσκου. ἦν δὲ καὶ ἑτερομάσχαλος ὁ τῶν ἐργατῶν, οὗ τὴν μίαν μασχάλην ἔρραπτον. ΓΘ (III) ἄλλως: ἑκατέρωθεν ἔχοντος χειρῖδας οὐ μακράς, ἀλλ’ ἕως τῶν μασχαλῶν. VEΓΘM

book 882b ἀμφιμάσχαλον ἔλεγον χιτῶνα τὸν ἑκατέρωθεν ἔχοντα χειρῖδας, οὐ μακρὰς ἀλλ’ ἕως τῶν μασχαλῶν· ἦν δὲ καὶ ἑτερομάσχαλος ὁ τῶν ἐργατῶν, οὗ τὴν μίαν μασχάλην ἔρραπτον. Lh

book 883a χειμῶνος ὄντος] καὶ ταῦτα. Γ2

book 883b δίδωμι] παρεπιγραφή· δίδωσι γὰρ τὸν χιτῶνα. EΓ3Lh

book 883c σοι] πρὸς τὸν Δῆμον. Γ2

book 885 ὁ Πειραιεύς] ἐπεὶ καὶ τοῦτον ἐτείχισεν. EΓ3Lh

book 886a οὐ μεῖζον εἶναι φαίνεται: ὅτι σοφίας δόξαν ἀπηνέγκατο ὁ Θεμιστοκλῆς, σαφηνίσας Ἀθηναίοις τὸν δοθέντα χρησμόν, “τεῖχος Τριτογενεῖ ξυλινὸν διδοῖ εὐρυόπα Ζεύς.” ἄλλων γὰρ ἄλλα λεγόντων, Θεμιστοκλῆς ἔφη τὰς τριήρεις λέγειν ξυλινὸν τεῖχος. VEΓΘMLh

book 886b φαίνετ’ ἐξεύρημα: τὸ ἐξεύρημα τοῦ χιτῶνος. τινὲς “τοῦδ’ εἵμωνος”. ὅτι σοφίας δόξαν ἀπηνέγκατο ὁ Θεμιστοκλῆς, περὶ οὗ ἄνω ἐγράφη. M

book 887a (I) πιθηκισμοῖς: ἀπάταις καὶ κολακεύμασιν. VEΓΘM (II) ἄλλως: μιμήμασιν. ὡς καὶ αὐτοῦ ταῦτα πεποιηκότος. VEΓΘM

book 887b οἵοις πιθηκισμοῖς] καὶ ὑφ’ οἵων πιθηκισμοῖς. Γ2

book 888 ὅταν χεσείῃ: οἱ γὰρ ἀνιστάμενοι ἐκ τῶν συμποσίων πρὸς τὸ ἀποπατῆσαι πολλάκις τοῖς ἀλλοτρίοις ὑποδήμασι χρῶνται ἤτοι σπεύδοντες ἢ καὶ ἀγνοοῦντες ὑπὸ τῆς μέθης. VEΓΘMLh

book 890a ὑπερβαλῇ] νικήσεις. Γ2

book 890b θωπείαις] κολακείαις. EΓ3

book 890c αὐτὸν] τὸν Δῆμον. Γ3Lh

book 891a προσαμφιῶ τοδί: πρὸς οἷς ἔχει ἐνδύσω. παρεπιγραφὴ δέ· δίδωσι γὰρ ὁ Κλέων αὐτῷ χιτῶνα. VEΓΘMLh

book 891b ἰαιβοῖ] δυσῶδες αὐτὸ εὑρών, ἀηδιζόμενος ὁ Δῆμός φησιν. EΓ3

book 892a βύρσης κάκιστον ὄζων: ἀηδισθεὶς ὁ Δῆμος καὶ μυσαττόμενος τὴν ὀσμὴν τοῦ βυρσοδέψου ταῦτά φησιν. VEΓΘMLh

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 892b totus versus] ἤγουν διὰ τὸ δυσῶδες τοῦ ἱματίου. Γ2

book 893a ἐπίτηδες] ἐπ’ αὐτὸ τοῦτο. Γ2

book 893b ἤμπισχεν] ἐνέδυεν. Γ2

book 893c ἀποπνίξῃ] τῇ ὀσμῇ. Lh

book 894a τὸν καυλὸν οἶσθ’ ἐκεῖνον: τὴν ῥίζαν τοῦ σιλφίου. σίλφιον δὲ φυτάριόν ἐστι κάκοσμον. Ἀρισταῖος δὲ ὁ Ἀπόλλωνος καὶ Κυρήνης πρῶτος τὴν ἐργασίαν τοῦ σιλφίου ἐξεῦρεν ὥσπερ καὶ τοῦ μέλιτος. VΕΓΘΜ

book 894b τὸν καυλὸν] τὴν ῥίζαν. Γ2

book 894c Ἀρισταῖος ὁ Ἀπόλλωνος καὶ Κυρήνης πρῶτος τὴν ἐργασίαν τοῦ σιλφίου ἐξεῦρεν ὥσπερ καὶ τοῦ μέλιτος. Lh

book 894d τὸν καυλὸν οἶσθ’ ἐκεῖνον] τὴν ῥίζαν τοῦ σιλφίου, ὃ φυτόν τι ἐστὶ κάκοσμον. Lh

book 895a τὸν ἄξιον γενόμενον: ὅτι καὶ νῦν εὔωνον καὶ ὀλίγης τιμῆς πιπρασκόμενον. VΕΓΘΜLh

book 895b οἶδα μέντοι: ὅτι καὶ τῷ ὀπῷ καὶ τῇ ῥίζῃ καὶ τῷ καυλῷ τοῦ σιλφίου ἐχρῶντο. VΕΓΘΜLh

book 895c ἄξιον] εὔωνον. Γ2

book 896 ἔσπευδ’] διὰ σπουδῆς μετεχειρίσατο. Γ2

book 897 Ἡλιαίᾳ] μέγιστον δικαστήριον ἦν ἐν Ἀττικῇ οὕτω καλούμενον διὰ τὸ ὕπαιθρον εἶναι, ὡς εἴρηται. Lh

book 898a οἱ δικασταί: οἱ ἡλιασταί. τὸ μέγα δὲ δικαστήριον ἐν τῇ Ἀττικῇ Ἡλιαία, καὶ οἱ δικασταὶ ἡλιασταί. VΕΓΘΜ

book 898b δικασταί] οἱ ἐν Ἡλιαίᾳ. Lh

book 899a (I) κόπριος: κηπουρός, παρὰ τὴν κόπρον. VΕΓΘLh (II) ἄλλως: δῆμος τῆς Ἀττικῆς· ἢ τὸν κοπρολόγον λέγει. VΕΓΘΜLh

book 899b κόπριος] κηπωρός. ἀπὸ τοῦ κόπρος. Μ

book 900 πυρροί] ἤγουν ἀπὸ ἐντροπῆς. Γ2

book 901a Πυρράνδρου: ἀπὸ τοῦ “πυρροὶ” ἔπαιξε τὸ ὄνομα. ἦν δὲ οὗτος ὁ Πύρρανδρος πονηρὸς καὶ συκοφάντης. VΕΓΘΜLh

book 901b βωμολοχεύμασι: κακουργήμασι, κολακεύμασιν, ἢ ἀπάταις. βωμολόχοι δέ εἰσιν οἱ περὶ τοὺς βωμοὺς λοχῶντες ἐπὶ τῷ ἁρπάζειν. VΕΓΘΜLh

book 903 ἡ θεός] ἤγουν ἡ Ἀθηνᾶ. ΕΓ2

book 904 νικήσεις] ἀλλαντοπῶλα. Γ2

book 905 μισθοῦ τρύβλιον: ὀξύβαφον. ἀντὶ τοῦ εἰπεῖν ὀσπρίου, ἢ ἄλλου τινὸς προσφαγίου, “μισθοῦ” εἶπε διὰ τὸν δικαστικὸν μισθόν. VΕΓΘΜLh

book 906 κυλίχνιον: ἔκπωμα, ὃ νῦν λέγουσι πυξίδιον. ἔχουσι δὲ οἱ ἰατροὶ τὰ πυξίδια, ἐν οἷς προσβάλλουσι τὰ πάσματα. VΕΓΘΜLh

book 909a (I) κέρκον λαγώ: τὴν οὐράν. ἁπαλὸν δὲ καὶ τρυφερὸν τὸ τοῦ λαγὼ ἔριον, ὥστε ἀντὶ σπόγγου χρήσασθαι. VΕΓΘΜ (II) 〈ἄλλως〉: διὰ τὸ ἁπαλὸν εἶναι, ὥστε τὰς λήμας περιψῆν. VΕΓΘΜ

book 909b περιψῆν: ἀντὶ τοῦ καταμάσσειν, ἀποσπογγίζειν. φιλονεικεῖ δὲ ἕκαστος ὑπερβαλεῖν ταῖς δωρεαῖς. VΕΓΘΜLh

book 909c κέρκον λαγὼ] οὐρὰν λαγωοῦ διὰ τὸ μαλακὸν εἶναι ὥστε τὰς λήμας περιψᾶν. Lh

book 910 > Lh

book 911a (ad vv. 911—40) ἐμοὶ μὲν οὖν: διπλῆ καὶ εἴσθεσις εἰς ἀμοιβαῖον μέλος τῶν ὑποκριτῶν κώλων λʹ, πάντων ἰάμβων, ὧν τὰ πρῶτα δύο μονόμετρα, τὰ ἑξῆς δίμετρα ἀκατάληκτα, τὸ δὲ τελευταῖον ⟦τὸ ἔνατον⟧ τρίμετρον καταληκτικόν. VEΓ3

book 911b totus versus] ἢ ὁ Κλέων ἢ ὁ ἀλλαντοπώλης. Γ2

book 911c μὲν οὖν] μᾶλλον. Γ2

book 911d ἐμοῦ1] ἐπὶ τὴν κεφαλὴν ἀποψῶ. Lh

book 912a (I) τριηραρχεῖν: ἀπειλεῖ λειτουργίαν αὐτῷ. λειτουργία γὰρ παρὰ Ἀθηναίοις δαπανηρὰ τὸ τριηραρχεῖν. ἔδει γὰρ τὴν τριήρη πάντα ἔχειν πρὸς πόλεμον εὐτρεπῆ, ἅπερ παρεσκεύαζεν ὁ τὴν λειτουργίαν ταύτην προβληθείς. VEΓΘM (II) ἄλλως: ἐπειδὴ οἱ στρατηγοί, εἴ τινα εἶχον ἐχθρόν, εἰς τριηραρχίαν ἐνέβαλλον, ὅπως ἂν αὐτῷ ὁ βίος ἀναλίσκοιτο. εἰ δέ τις ὑπερβαλλόντως ἀπεχθάνοιτο, παλαιὰς ναῦς αὐτῷ ἐδίδοσαν, ὅπως ἂν οἴκοθεν καινὰς ἀντ’ αὐτῶν κατασκευάσῃ, καὶ πάντῃ ἄποροι ἐγίγνοντο. VEΓΘ

book 912b τριηραρχεῖν] ἤγουν ἄρχειν τριήρους. Γ2

book 912c δαπανηρὸν ἦν παρ’ Ἀθηναίοις τὸ τριηραρχεῖν. ἔδει γὰρ τὴν τριήρη πάντα ἔχειν τὰ πρὸς πόλεμον εὐπρεπῆ, ἅπερ παρεσκεύαζεν ὁ εἰς τὴν λειτουργίαν ταύτην προβληθείς. εἴ τινα οὖν ἐχθρὸν εἶχον οἱ στρατηγοί, εἰς τριηραρχίαν ἐνέβαλον, ὅπως ἂν ὁ βίος αὐτοῦ ἀναλίσκοιτο. εἰ δέ τις ὑπερβαλλόντως ἀπεχθάνοιτο, παλαιὰς ναῦς αὐτῷ ἐδίδοσαν, ὅπως ἂν οἴκοθεν καινὰς ἀντ’ αὐτῶν κατασκευάσῃ καὶ πάντῃ ἄπορος γίγνοιτο. Lh

book 912d totus versus] ἀπειλεῖ αὐτῷ λειτουργίαν. Lh

book 913 ἀναλίσκοντα] καταδαπανῶντα. Γ2

book 915 οὐκ ἐφέξεις] οὐ παύσῃ. VEΓ2

book 916a οὐδὲν] οὐδαμῶς. Γ2

book 916b ναυπηγούμενος] καταβάλλων τὰ τῶν ναυπηγῶν. Γ2

book 917a διαμηχανήσομαι] διαπράξομαι. VEΓ3

book 917b διαμηχανήσομαι] ἐπιτηδεύσομαι. Γ2

book 919a (I) ἀνὴρ παφλάζει: ἐπειδὴ ἑώρα τὸν Κλέωνα κεκραγότα καὶ παφλάζοντα τῷ λόγῳ, τῇ μεταφορᾷ ἐχρήσατο ἀπὸ τοῦ χαλκείου ἐν τῷ πυρὶ κειμένου. ἐπειδὰν γὰρ ἴδωμεν τοῦτο ὑπερζέον, τῶν ὑποκειμένων ξύλων ὑφαιροῦμεν καὶ τοῦ ὕδατος, ἵνα μὴ ὑπερχυθέντος τοῦ ὕδατος τὸ πῦρ σβεσθῇ. χαριέντως δὲ ὡς μαγείρῳ. VEΓΘLh (II) ἄλλως: ἐντεῦθεν ⟦μετὰ τὸ ἔνατον κῶλον⟧ διακέκριται τοῖς προσώποις. εἰσὶ δὲ ἴσα ὅλα καὶ ὅμοιον ποιεῖ τὸ ὅλον περιοδικόν. τὸ δὲ τελευταῖον ἑτέραν ἔχει διαίρεσιν, τὴν εἰς τρίμετρον καταληκτικόν. VEΓΘM

book 919b ἀνὴρ παφλάζει: παφλάζειν τοῦ καχλάζειν διαφέρει. παφλάζειν μὲν ἐπὶ ἤχου λεβήτων θερμὸν ἀναζέοντος· ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ παμφαλάζειν καὶ πολλῷ πυρὶ ἅλλεσθαι. καχλάζειν δὲ ἐπὶ κτύπου ῥοῆς ὕδατος, ἀπὸ τοῦ ἐπὶ καχλήκων ξηρῶν ἠχεῖν. M

book 919c παφλάζει] βράζει καὶ τετάρακται. πεποίηται δὲ παρὰ τὸ πάφλα. τὸ δὲ ἑξῆς, ἀνὴρ παφλάζει ὑπερζέων. VΓ3Lh

book 920a ὑφελκτέον] ἄξιον, ὕπαρχον ὑφελκύσαι. Γ2

book 920b ὑφελκτέον] ἀφαιρετέον. Lh

book 921a τῶν δᾴδων: ἔδει εἰπεῖν τῶν κρεῶν. ἔστι γὰρ ἀπὸ μεταφορᾶς τῶν ἑψόντων, οἵτινες, ὅταν παφλάζῃ, τῶν ὑποκειμένων ξύλων ἀφαιροῦνται καὶ τῶν κρεῶν. VEΓΘM

book 921b ἀπαρυστέον: ἀφαιρετέον. “τῶν ἀπειλῶν” δὲ εἶπεν ἀντὶ τοῦ εἰπεῖν “τοῦ ζέματος”. ἐπειδὴ τῶν ὑπερζεόντων ἀπαρύονται, ἵνα μή τι ὑπερχέηται. μαγειρικῶς δὲ ταῦτα. VEΓΘM

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 921c ἀπαρυστέον] ἄξιον, ὕπαρχον ἀπαρύσαι καὶ ἀντλῆσαι. Γ2

book 921d τοῦτο ποιεῖν εἰώθασιν. ὑπερζέοντος καὶ παφλάζοντος τοῦ λέβητος ἢ τῆς χύτρας τῶν κρεῶν ἔδει. Lh

book 921e ἀπαρυστέον] ἐκβλητέον. Lh

book 922a ταυτηί: ἴσως κρεάγραν ἔδειξεν ὡς μάγειρος. VΕΓΓ2Θ

book 922b ταυτηί] ὑπὸ ταύτης. Γ2

book 922c ταυτηί] τῇ κρεάγρᾳ. Lh

book 924 ἰπούμενος ταῖς εἰσφοραῖς: θλιβόμενος ταῖς συντελείαις, ταῖς ἀπαιτήσεσι, πολλὰ εἰσφέρειν ἀναγκαζόμενος. VΕΓΘΜLh

book 926a σπεύσω σε: σπεύσω εἰς σὲ καὶ σπουδάσω. ἐπειδὴ οἱ στρατηγοί, ἐχθρούς τινας ἔχοντες πένητας, ἐνέγραφον τῷ πρώτῳ τάγματι, ὅπως μὴ ἀρκοῦντες πρὸς τὰς μεγάλας ζημίας, ἄποροι γένωνται. VΕΓΘΜLh

book 926b σπεύσω σε] σπευδάσω εἰς σέ. Lh

book 926c ἐγγραφῆς] καταταγῆς. Lh

book 928 εὔχομαι] ἀντὶ τοῦ καταρῶμαι. VΕΓ3Lh

book 929a τευθίδες: εἶδος ἰχθύων. V2ΕΓ3ΜLh

book 929b τευθίδων] πεπληρωμένον. Γ2

book 929c τάγηνον] τηγάνιον. Lh

book 930a σίζον: ποιὸν ἦχον ἀποτελοῦν. ΕΓ3Μ

book 930b ἐφεστάναι] καὶ ἐπάνω τοῦ πυρὸς ἑστάναι. Γ2

book 930c ἐφεστάναι σίζον] ἵστασθαι καὶ ἦχον ἀποτελεῖν. Γ2

book 930d ἐφεστάναι] ἐν τῷ πυρί. Lh

book 930e σίζον] ἠχοῦν. Lh

book 931a γνώμην] βουλήν. Γ2

book 931b ἐρεῖν] λέξειν. Γ2

book 931c περὶ] ἕνεκα. Γ2

book 932 Μιλησίων: ὡς ἐκεῖθεν δωροδοκοῦντος. μέτοικοι δὲ Ἀθηναίων οἱ Μιλήσιοι. VΕΓΘΜLh

book 933 ἢν κατεργάσῃ: ἐὰν διαπράξῃ ἅπερ αὐτοῖς ἐπηγγείλω. VΕΓΘΜLh

book 934 τῶν τευθίδων] τῶν ἰχθύων. Lh

book 935 ἐμπλήμενος] ἐμπλησθείς. Lh

book 936 φθαίης ἔτ’ εἰς ἐκκλησίαν ἐλθών] προλάβοις ἔτι εἰς ἐκκλησίαν ἐλθών. VΓ3

book 937a μεθήκοι] μετέλθοι, καλῶν σε δηλονότι. ΕΓ3

book 937b μεθήκοι] μετακαλέσαιτό σε. Lh

book 939 totus versus] καὶ τοῦτο παρατέλευτον. Lh

book 941a (ad vv. 941—2) εὖ γε νὴ τὸν Δία: διπλῆ καὶ τοῦ χοροῦ 〈περίοδοσ〉 δίκωλος ἐν ἐπεισθέσει, ὧν τὸ πρῶτον ἐκ τροχαϊκῆς βάσεως καὶ ἀναπαιστικῆς, καὶ ἑφθημιμερὲς ἢ Ἰωνικόν, ἀπὸ μὲν τριμέτρου καταληκτικόν. ἀτακτότερον δὲ ἔχει τὴν τροχαϊκὴν βάσιν ἑπτάσημον. τὸ δὲ δεύτερον πενθημιμερὲς κοινὸν δακτυλικὸν καὶ ἀναπαιστικόν. ἐπίτηδες δὲ διαλελυμένως μιμούμενος τὸν πεζὸν λόγον. ἔστι δὲ πολλὰ καὶ παρ’ Εὐπόλιδι σεσημειωμένα. VΕΓΘΜ

book 941b 〈 〉. Lh

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 943a (ad vv. 943—72) διπλῆ καὶ ἐν ἐκθέσει ἴαμβοι τρίμετροι ἀκατάληκτοι λ′. VEΓ3

book 943b κἀμοὶ δοκεῖ, καὶ τἆλλα: κορωνὶς ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λ′, ὧν τελευταῖος "ἰδοὺ ἰδοὺ νὴ τὸν Δί' οὐδὲν κωλύει". Lh

book 944 ἀγαθὸς πολίτης: ὁ ἀλλαντοπώλης δηλονότι. δοκεῖ μοι, φησί, καλὸς εἶναι πολίτης, οἷος οὐδεὶς ἄλλος γένοιτ' ἂν ἐν παντὶ χρόνῳ. VEΓΘMLh

book 945 τοῖσι πολλοῖς τοὐβολοῦ: τοῖς εὐώνοις, τοῖς Ἀθηναίοις. οὕτως γὰρ λέγεται ἐπὶ τῶν πολλῶν τοῦ ὀβολοῦ πωλουμένων. VEΓΘMLh

book 946a ἐσκορόδισας: ἀήδισας ἢ ἐπίκρανας ἢ ἐδρίμυξας ἢ κλαῦσαι πεποίηκας. ἀπὸ τῶν σκόροδα τριβόντων. VEΓΘM

book 946b ὦ Παφλαγών] πρὸς τὸν Κλέωνα. Γ2

book 946c ἐσκορόδισας] δριμύτητος ἐνέπλησας. Lh

book 947 τὸν δακτύλιον] τὴν σφραγῖδα, τῆς ἀρχῆς τὸ σημεῖον. EΓ2Lh

book 948 ὡς οὐκέτι ἐμοὶ ταμιεύσεις: ὡς οὐκέτι ἐπιμελήσῃ τῶν ἐμῶν χρημάτων, οὐδὲ ταμίας μοι ἔσῃ, τουτέστι διοικήσεις τὰ πρυτανεῖα. VEΓΘMLh

book 950 ἐμοῦ πανουργότερος: ἑαυτὸν διαβάλλει ὁ Κλέων, ἐκείνῳ ψόγον ἐπιφέρειν βουλόμενος. VEΓΘMLh

book 951 ὁ δακτύλιος] ὃν ἐφόρει τῆς ἀρχῆς ὄντα σημεῖον. EΓ3Lh

book 953a ἀλλ' ἦ] ὄντως. Γ2

book 953b ἦ οὐ] συνίζησις. Lh

book 954a (I) δημοῦ βοείου: παρὰ τὸν δῆμον ἐποίησε δημὸν ὀξυτόνως. ὀλίγον οὖν δεῖ τῷ τόνῳ παρεγκλίνειν. ⟦οὐ τὸ ὄνομα⟧. λέγει δὲ καὶ ταῦτα ἐπειδὴ ὡς ἀναίσθητον διαβάλλει τὸν Δῆμον. ἐπειδὴ τῷ θρίω περιβάλλοντες τὸ λίπος ὤπτων. θρῖον δὲ τὸ τῆς συκῆς φύλλον. VV2EΓΘM (II) ἄλλως: λίπους βοείου. ταῦτα δὲ εἰς ἀναισθησίαν τοῦ δήμου. καὶ ἐν Σφηξὶ "ἵστη βόειον δημόν". θρῖον δὲ σκεύασμά τι μετὰ ἐγκεφάλου γιγνόμενον. VV2EΓΘ

book 954b (I) θρῖον: χόνδρος ἢ ὄρυζα ἕψεται, ἢ σεμίδαλις ἀρκούντως. εἶτα ἐπιχεῖται τὸ ὕδωρ, καὶ φυρᾶται τὸ ἡψημένον μετὰ ἁπαλοῦ τυροῦ καὶ ᾠῶν ὀλίγων. εἶτα περιλαμβάνεται φύλλοις συκίνοις ὅλον καὶ περιειλεῖται καννάβῳ ἢ παπύρῳ ἢ λίνῳ, καὶ καθίεται εἰς ζωμὸν κρεῶν ἡψημένων, ἄχρι τοῦ λαβεῖν ἱκανὴν ἕψησιν. εἶτα ἐξαίρεται καὶ τῶν φύλλων περιαιρεθέντων εἰς λοπάδα νέαν ζέοντος μέλιτος ἐμβάλλεται καὶ παρατίθεται. VEΓΘM (II) 〈ἄλλως〉 .... στρεφόμενον δέ, ὅταν ἱκανῶς ἔχῃ καὶ ξανθὸν γένηται, ἐξαιρεθὲν παρατίθεται μέλιτος περιχυθέντος, ἢ ἀπὸ τοῦ ἑφθοῦ, ἢ ἀπὸ τοῦ ἄλλου. θρῖον δὲ καλεῖται ἀπὸ τῶν φύλλων τῆς συκῆς, ἅτινα οὕτω καλεῖται.

book 954b VEΓΘ

book 954c καὶ Θρύον μὲν πόλις, ὡς τὸ "Θρύον, Ἀλφειοῖο πόρον, εὔκτιτον Αἰπύ". ⟦ψιλόν⟧. M

book 954d παρὰ τὸν Δῆμον ἐποίησεν ὄνομα δημὸν ὀξυτόνως, ὃ σημαίνει τὸ λίπος. θρῖον δέ ἐστι τὸ τῆς συκῆς φύλλον ᾧ περιβάλλοντες τὸ λίπος ἕψουσι. κατασκευάζεται δὲ οὕτω. χόνδρος ἢ ὄρυζα ἕψεται ἢ σεμίδαλις ἀρκούντως, εἶτα ἀποχεῖται τὸ ὕδωρ καὶ φυρᾶται τὸ ἡψημένον μετὰ ἁπαλοῦ τυροῦ καὶ ᾠῶν ὀλίγων. εἶτα περιειλεῖται καννάβῳ ἢ λίνῳ ἢ παπύρῳ, καὶ καθίεται εἰς ζωμὸν κρεῶν ἡψημένων ἄχρι τοῦ λαβεῖν ἱκανὴν ἕψησιν. εἶτα ληφθὲν ἐκεῖθεν ἐμβάλλεται εἰς λοπάδα νέαν ζέοντος μέλιτος καὶ ἑψεῖται στρεφόμενον. ὅτε δὲ ἱκανῶς ἑψηθῇ καὶ ξανθὸν γένηται, ἐξαιρεθὲν παρατίθεται εἰς βρῶσιν μέλιτος ἐπιχυθέντος ἀπὸ τοῦ ἑφθοῦ ἢ ἑτέρου. Lh

book 954e δημοῦ] λίπους. Lh

book 954f θρῖον] φύλλον συκῆς, ἐπειδὴ τῷ θρίῳ περιβάλλοντες τὸ λίπος ὤπτων. Lh

book 956 λάρος κεχηνώς: τὸν Κλέωνα λέγει διὰ τὸ ἁρπακτικόν. ἀπὸ τούτου δὲ ὡς κλέπτην τὸν Κλέωνα διαβάλλει. καὶ ὁ λάρος γὰρ ζῷόν ἐστιν ἀδηφάγον. τὴν δὲ "πέτραν" διὰ τὸ βῆμα τὸ ἐν τῇ πνυκί. VEΓΘMLh

book 957 ἀπόφερ'] μακρὰν φέρε. Γ2

book 958a τὸν Κλεωνύμου: ὡς δαπανηρὸν καὶ ἐν τρυφῇ ζῶντα κωμῳδεῖ καὶ διαβάλλει τὸν Κλεώνυμον, ⟦καὶ ἅρπαγα. εἰπὼν γὰρ "λάρος" ἐπήνεγκε "τὸν Κλεωνύμου."⟧ VEΓ2Γ3M

book 958b τὸν ἐμὸν] δακτύλιον. Γ2

book 959a παρ' ἐμοῦ δὲ τουτονὶ λαβών: δακτύλιον ἄλλον δίδωσι. καὶ ἔστι παρεπιγραφή. VEΓΘLh

book 959b totus versus] Κλέων πρὸς τὸν ἀλλαντοπώλην. Γ2

book 959c ταμίευέ μοι] διοίκει τὰ δημόσια. EΓ3

book 962 νυν] δή. Lh

book 963a (I) μολγὸν γενέσθαι: Φαεινὸς "μολγὸν" ἀντὶ τοῦ τυφλόν. Ἡρόδοτος δὲ ἱστορεῖ τούτους ἐπάνω τῆς Σκυθίας εἶναι. VEΓ3ΘM (II) ἄλλως: πένητα, παρὰ τὸ ἀμέλγεσθαι καὶ ζημιοῦσθαι. VEΓ3ΘM (III) ἄλλως: Σύμμαχος· ἔοικε χρησμός τις εἶναι. ἐν γὰρ τοῖς Γεωργοῖς οὕτως ἔχει: "ὅτῳ δοκεῖ σοι δεῖν μάλιστα τῇ πόλει. ἐμοὶ μὲν ἐπὶ τὸν μολγὸν εἶναι οὐκ ἀκήκοας." Ἐρατοσθένης· μολγὸν καὶ ἀμολγὸν τὸν αὐτόν· ἀμολγοὺς δὲ παρὰ τούτοις φησὶ λέγεσθαι τοὺς ἀμέλγοντας τὰ κοινά. Ἡσίοδος δὲ "μᾶζά τ' ἀμολγαίη." οἱ δὲ ἀντὶ τοῦ ἀκμαῖον. παρὰ δὲ τοῖς κωμικοῖς μόλγης ὁ μοχθηρός, ὥσπερ γόης· οὕτω Σωκράτης. VEΓ3Θ (IV) ἄλλως: "μολγὸν" τινὲς μὲν γλαυκόν, οἱ δὲ τὸν βραδύν. οἷον ἀμολγὸν καὶ κλέπτην τῶν δημοσίων. μολγοὺς γὰρ ἔλεγον τοὺς ἐξαμέλγοντας καὶ κλέπτοντας τὰ κοινά. VEΓ2

book 963b μολγὸν] τυφλόν, πένητα. M

book 963c δεῖ] ἀπόκειται. Γ2

book 963d Ἡρόδοτος τοὺς Μολγοὺς ἐπάνω τῆς Σκυθίας ἱστορεῖ εἶναι. οἱ δέ φασι τοὺς πένητας, παρὰ τὸ ἀμέλγεσθαι. Σύμμαχος δέ φησιν ὅτι ἔοικε χρησμός τις εἶναι. ἐν γὰρ τοῖς Γεωργοῖς οὕτως ἔχει· "ὅτῳ δοκεῖ σοι δεῖν μάλιστα τῇ πόλει. ἐμοὶ μὲν ἐπὶ τὸν μολγὸν οὐκ ἀκήκοας;" παρὰ δὲ τοῖς κωμικοῖς μόλγης ὁ μοχθηρός, ὥσπερ τὸ γόης. οὕτω Κράτης. Lh

book 963e μολγὸν] τυφλόν, οἱ δὲ τὸν γλαυκὸν λέγουσιν ἢ τὸν βραδύν, ἢ ἀμολγὸν καὶ κλέπτην, μολγοὺς γὰρ ἔλεγον τοὺς ἀμέλγοντας. Lh

book 964a μέχρι τοῦ μυρρίνου: μέχρι τῆς κεφαλῆς· ἐπειδὴ οἱ ἄρχοντες μυρρίνῃ ἐστεφανοῦντο. ἢ ἀπὸ τοῦ ἐσκολύφθαι τὸ αἰδοῖον εἰς τέλος καὶ ὁλόκληρον. μύρτον δὲ ⟦πεποικιλμένον⟧ ἐκάλουν οἱ παλαιοὶ τὸ γυναικεῖον αἰδοῖον. VEΓΘMLh

book 964b ψωλὸν] παρατεταμένον ἔχοντα τὸ μόριον. Lh

book 965 οἵ γ' ἐμοί] χρησμοί. Γ2

book 967a ἁλουργίδα: πορφυρᾶν χλανίδα. ἐπειδὴ τὸ ῥόδον πορφυροῦν, τῷ στεφάνῳ τῶν ῥόδων τὴν "ἁλουργίδα" ἐπήνεγκεν. VEΓΘMLh

book 967b ἁλουργίδα] πορφυροῦν ἱμάτιον. Γ2

book 967c ἁλουργίδα] πεποικιλμένην περικεφαλαίαν. EΓ3

book 968 κατάπαστον] κατάχρυσον. Γ2

book 969a (I) χρυσοῦ διώξεις: τῷ "διώξεις", ἔχοντι λόγον πρὸς τὰ προκείμενα, ἐπήνεγκε παρὰ τὴν φωνὴν τὸ ⟦"διώξεισ⟧ Σμικύθην καὶ κύριον", ὥσπερ ἐν ταῖς εἰσαγωγαῖς τῶν ἐγκλημάτων κηρύττειν εἰώθασιν, ἐπειδὰν γυναικὶ ἐπιφέρηται ἔγκλημα. οὕτω γὰρ προκαλεῖσθαι εἰώθασιν ἐν τῷ δικαστηρίῳ, "ἡ δεῖνα καὶ ὁ κύριος", τουτέστιν ὁ ἀνήρ. ἅμα οὖν ὡς γυναικώδη τὸν Σμικύθην

κωμῳδεῖ καὶ ἔχοντα κύριον ὥσπερ αἱ θήλειαι. ὁ δὲ Σμικύθης Θρᾳκῶν βασιλεύς. “Κύριον” δὲ ἀντὶ τοῦ Κύρου τοῦ Ἀρταξέρξου τοῦ Περσῶν βασιλέως, ὃς κατ’ ἐκείνους τοὺς χρόνους τῆς Λυδίας πεμφθεὶς σατραπεύειν, Λακεδαιμονίοις προσθέμενος εἰς πόλεμον τὸν πρὸς Ἀθηναίους ἐχορήγησε χρήματα. VEΓΘM (II) ἄλλως: τὸν Σμικύθην κωμῳδεῖ ὡς κίναιδον. “κύριον” δὲ λέγει τὸν ἄνδρα. οὕτω γὰρ ἐπεγράφοντο ἐν τοῖς δικαστηρίοις, “Ἀσπασία καὶ κύριος”, τουτέστι Περικλῆς. VEΓ3M

book 969b κύριον] τὸν ἄνδρα, τὸν Περικλῆν. M

book 969c ἐν τῷ δικαστηρίῳ κηρύττειν εἰώθασιν, ἐπειδὰν γυναικὶ ἐπιφέρηται ἔγκλημα, “ἡ δεῖνα καὶ ὁ κύριος”, τουτέστιν ὁ ἀνήρ. ἅμα οὖν ὡς γυναικώδη τὸν Σμικύθην κωμῳδεῖ, καὶ ἔχοντα κύριον ὡς αἱ θηλεῖαι· ὁ δὲ Σμικύθης Θρᾴκης βασιλεύς. ἢ ὡς ἔχοντα κύριον Κῦρον τὸν Ἀρταξέρξου τοῦ Περσῶν βασιλέως, ὃς κατ’ ἐκείνους τοὺς χρόνους τῆς Λυδίας πεμφθεὶς σατραπεύειν, Λακεδαιμονίοις προσθέμενος εἰς πόλεμον τὰ πρὸς Ἀθηναίους ἐχορήγησε χρήματα. Lh

book 969d Σμικύθην] τοῦτον κωμῳδεῖ ὡς κίναιδον. Lh

book 970a ἔνεγκ’] ὦ Κλέων. Γ2

book 970b οὑτοσί] ἀλλαντοπώλης. Γ2

book 971 αὐτῶν] χρησμῶν. Γ2

book 972 . Lh

book 973a (ad vv. 973—96) ἥδιστον φάος: κορωνίς, ἐξιᾶσι γὰρ οἱ ὑποκριταί, καὶ ἐν εἰσθέσει τοῦ χοροῦ ἑξὰς μονοστροφικὴ τετρακώλους ἔχουσα τὰς περιόδους ἐκ τριῶν γλυκωνείων καὶ τοῦ φερεκρατείου. συνῆπται δὲ τῇ λέξει καὶ μόνον διακέκριται τὸ φερεκράτειον. παράγραφοι δὲ ἁπλαῖ μὲν πέντε, ἡ δὲ ἕκτη 〈διπλῆ〉 καὶ μετὰ κορωνίδος. VEΓΘ

book 973b (ad vv. 973—96) ἥδιστον φάος ἡμέρας: κορωνὶς καὶ εἴσθεσις χοροῦ μονοστροφικὴ ἐκ κώλων ἀντισπαστικῶν ἐπιμεμιγμένων ἐπιτρίτοις, διτροχαίοις, διϊάμβοις, χοριάμβοις καὶ βακχείοις κδʹ, τετρακώλους τὰς περιόδους ἔχουσα. εἰσὶ δὲ τὰ μὲν τρία ἑκάστης περιόδου κῶλα δίμετρα ἀκατάληκτα, ἃ καλεῖται γλυκωνεῖα, ὡς εἴρηται, διὰ τὸ ἀντὶ τοῦ ἀντισπάστου ὡς ἐπὶ τὸ πλεῖστον ἐπίτριτον ἔχειν τέταρτον ἐν τῇ πρώτῃ χώρᾳ, τὴν δὲ ἑξῆς ὡς ἐπὶ τὸ πλεῖστον ἐκ διϊάμβου ἢ διτροχαίου. τὸ δὲ τέταρτον κῶλον δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, ὃ καλεῖται φερεκράτειον διὰ τὸ ἀντὶ τοῦ ἀντισπάστου ἔχειν ὡς ἐπὶ τὸ πλεῖστον ἐν τῇ πρώτῃ χώρᾳ ἐπίτριτον καὶ αὐτὸ τέταρτον ἢ διτρόχαιον, ἐν δὲ τῇ δευτέρᾳ βακχεῖον. τίθεται δὲ ἐν τῷ τέλει ἑκάστης περιόδου, ὡς καὶ ὁ ἐξηγητής φησιν, ἡ παράγραφος, ἐν δὲ τῇ ἕκτῃ περιόδῳ παράγραφος καὶ κορωνίς. Lh

book 973c ἥδιστον φάος ἡμέρας] ἀπ’ Εὐριπίδου. EΓ2

book 974a ἔσται] γενήσεται. Γ2

book 974b τοῖς παροῦσι] ἐγχωρίοις τοῖς οὖσι κατὰ τὸν νῦν καιρόν. Γ2

book 975 τοῖσιν ἀφικνουμένοις: τοῖς μέλλουσιν ἔσεσθαι ἢ τοῖς μετὰ ταῦτα ἐσομένοις· ἢ καὶ τοῖς ἐπιδημοῦσι τῶν ξένων, ἵν’ ἐπιδεικνύῃ τὸν Κλέωνα κἀν τούτῳ πονηρόν, ὅτι μηδὲ τούτων φείδεται, ἀλλ’ ἐπίσης ἅπαντας συκοφαντεῖ. VEΓ2ΘM

book 978 ἀργαλεωτάτων] δυσκόλων, ψυχρῶν. Γ2

book 979a (I) ἐν τῷ δείγματι τῶν δικῶν: Σύμμαχος· σκέψασθε τί δή ποτέ ἐστι τὸ δεῖγμα τῶν δικῶν. παρεῖται γάρ, φησίν, εἰ μὴ τὸ δεῖγμα τόπος ἐστὶν ἐν Πειραιεῖ, ἔνθα πολλοὶ συνήγοντο ξένοι καὶ πολῖται καὶ ἐλογοποίουν. τὸ δὲ “τῶν δικῶν” προσέθηκεν, ἵνα διαβάλλῃ τὸ φιλόδικον τῶν Ἀθηναίων. VEΓ3ΘM (II) ἄλλως: ἐν τῷ Πειραιεῖ, ⟦ὅπου δικάζουσιν⟧ ἐπεὶ ἐκεῖ οἱ ἔμποροι τὰ δείγματα τῶν πωλουμένων ἐτίθεσαν. ἅμα δὲ ἔσκωψε τὸ φιλόδικον τῶν Ἀθηναίων. VΓ3Θ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 979b ἐν τῷ δείγματι τῶν δικῶν] ἐν τῷ Πειραιεῖ, ἤγουν ἐν ᾧ δείκνυνται αἱ δίκαι. Γ2

book 979c δείγματι] τόπος ἐν Πειραιεῖ, ἔνθα πολλοὶ συνήγοντο ξένοι. Lh

book 981a ὡς] ὅτι. Γ2

book 981b εἰ μή γέ μοι] ἐγένετο. Γ2

book 983 ἤστην] ὑπῆρχον. Γ2

book 984a δοῖδυξ οὐδὲ τορύνη] παρ’ ὑπόνοιαν ἐπήνεγκε. τορύνη δὲ τὸ τῆς χύτρας κινητήριον. V

book 984b δοῖδυξ: παροιμία, δοῖδυξ αὔξει, ἐπὶ τῶν λίαν μικρῶν. ταῦτα δὲ ὡς πρὸς τὸν Κλέωνα πάντα 〈συνταράττοντα〉. VΕΓΘ

book 984c δοῖδυξ οὐδὲ τορύνη: παρ’ ὑπόνοιαν ἐπήνεγκε ταῦτα ὡς πρὸς Κλέωνα πάντα συνταράττοντα. ἔστι δὲ καὶ παροιμιῶδες, δοῖδυξ αὔξει, ἐπὶ τῶν ἄγαν μικρῶν. τορύνη δὲ τὸ τῆς χύτρας κινητήριον. M

book 984d δοῖδυξ] τριβεύς. ΕΓ2

book 984e τορύνη] κουτάλη. V2

book 984f τορύνη] τὸ τῆς χύτρας κινητήριον. Lh

book 986 ὑομουσίας: χοιρωδίας, ἀπαιδευσίας. V2Γ2

book 988a οἳ ξυνεφοίτων] ἤγουν οἱ συμμαθόντες. VΓ2Γ3

book 988b ξυνεφοίτων] συνεμάνθανον αὐτῷ. Lh

book 989a (I) τὴν Δωριστί: τῷ ὀνόματι παίζει διὰ τὸ δωροδοκεῖσθαι. διαβάλλει οὖν αὐτὸν ὡς κλέπτην καὶ δωροδοκούμενον. Δώριος δὲ οὕτω καλεῖται μία τῶν ἁρμονιῶν, ὡς καὶ Λύδιος καὶ Φρύγιος καὶ Βοιώτιος. VΕΓΘΜ (II) ἄλλως: οὐδεμίαν ἁρμονίαν θέλει μαθεῖν ἄλλην, μόνην δὲ τὴν τοῦ δωροδοκεῖν ἐπώνυμον. VΕΓΘΜ

book 989b ἁρμόττεσθαι] παιδεύεσθαι. Γ2

book 989c τὴν Δωριστὶ] ἤγουν τὴν τοῦ δωροδοκεῖν ἐπώνυμον. διαβάλλει δὲ αὐτὸν ὡς κλέπτην καὶ δωρόδοκον. Lh

book 991a ἄλλην] ἁρμονίαν. Γ2

book 991b ἁρμόττεσθαι] ἁρμονίαν· ἡ μὲν γὰρ τῶν ἁρμονιῶν Δώριος, ἡ δὲ Λύδιος, ἡ δὲ Φρύγιος, ἡ δὲ Βοιωτός. Lh

book 993 ὀργισθέντ’] εἰς ὀργὴν ἐμπεσόντα. Γ2

book 994 ὡς ἁρμονίαν: ἁρμονίαν οἱ μουσικοὶ καλοῦσι τὸ εὖ καὶ ἐπισταμένως εἶναι τὰς νευρὰς ἐν τοῖς κρούμασι τῶν ᾀσμάτων. ἐν ἤθει οὖν ταῦτά φησιν, ὅτι Κλέων ἑτέραν μουσικὴν οὐ μετεχειρίζετο οὐδὲ μανθάνειν ἐβούλετο, ταύτης δὲ μόνης μετεποιεῖτο καὶ ἔμπειρος ἦν. VΕΓΘΜLh

book 997a (ad vv. 997—1014) διπλῆ 〈μετὰ κορωνίδοσ〉, ὅτι εἰσιᾶσιν οἱ ὑποκριταί, καὶ εἰσὶν ἴαμβοι τρίμετροι ἀκατάληκτοι ιη′. VΕΓΜ

book 997b (ad vv. 997—1110) ἰδοὺ θέασαι: κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ καὶ δακτυλικοὶ ϟϛ′. ὧν προτίθενται στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ιζ′· τὸ γὰρ ιε′ δίμετρόν ἐστιν ἀκατάληκτον. ἐπὶ τῷ τέλει παράγραφος. περὶ δὲ τῶν ἑξῆς ἐν ἑκάστῃ περιόδῳ εἴρηται τίνος μέτρου εἰσίν. Ἡφαιστίων δέ φησιν ὅτι εἰώθασιν οἱ δραματοποιοὶ μεταξὺ ἰαμβείων τινῶν γράφειν ἑτέρῳ μέτρῳ ὁποσασοῦν στροφάς, εἶτα πάλιν περάναντες δι’ ἰαμβείων τὸ προκείμενον κατὰ διέχειαν ἀνταποδιδόναι τὰς στροφάς. ἐφ’ ἑκάστης οὖν στροφῆς τίθεται παράγραφος. Lh

book 997c

ἰδοὺ θέασαι: ἔξεισιν ἐπὶ τῶν μεταφρένων ἀγγεῖον φέρων πεπληρωμένον χρησμῶν, καὶ λέγει ὅτι τοσοῦτον ἄχθος βαστάζων ὅμως ἅπαντας ἐξάγειν οὐκ ἐδυνήθην τοὺς χρησμούς. καὶ ὁ ἕτερος ὁμοίως τὸ αὐτὸ ποιεῖ. τοῦτο γὰρ ἐπηγγελμένοι εἰσῆλθον, ἐξοίσειν τοὺς χρησμοὺς οὓς ἔχουσι περὶ τοῦ δήμου. VEΓ

book 997d ἅπαντας] τοὺς χρησμούς. Γ2

book 977e εἰσιᾶσιν οἱ ὑποκριταὶ ἐπὶ τῶν μεταφρένων ἀγγεῖα φέροντες πεπληρωμένα χρησμῶν. τοῦτο γὰρ ἐπηγγείλαντο, ἐξοίσειν τοὺς χρησμοὺς οὓς ἔχουσι περὶ τοῦ δήμου. Lh

book 997f οὐχ ἅπαντας ἐκφέρω] ὡς καὶ ἄλλων ἔνδον ὄντων χρησμῶν τὸ “οὐχ ἅπαντας ἐκφέρω” φησίν. Lh

book 998a χεσείω: ὑπὸ τοῦ βάρους τῶν βιβλίων τῶν τοὺς χρησμοὺς ἐχόντων “χεσείω” φησίν. ὡς δὲ ἔνδον καὶ ἄλλων ὄντων χρησμῶν τὸ “οὐχ ἅπαντας ἐκφέρω” φησίν. VEΓΘ

book 998b χεσείω] μέλλω χεσεῖν. Γ2

book 1000 ἔτι] ἀκμήν. Γ2

book 1001a καὶ ξυνοικία δύο: δυϊκῶς ἐπήγαγε τὸ “ξυνοικία”. λέγονται δὲ ξυνοικίαι καὶ μικραὶ οἰκίαι καὶ ἀποστάσεις, ἢ οὓς νῦν φανόπτας φαμέν. VEΓΘM

book 1001b φλυαρία δὲ τοῦτο· ξυνοικία γὰρ καὶ τὰ κατώγεα λέγονται. M

book 1001c ὑπερῷον] τὸ εἰς ὕψος διῆκον οἴκημα. Lh

book 1001d ξυνοικία] ξυνοικίαι λέγονται αἱ μικραὶ οἰκίαι καὶ ἀποστάσεις, ἢ οὓς νῦν φανόπτας φαμέν. Lh

book 1004a Γλάνιδος: ἔπαιξε πρὸς τὴν κατάληξιν τὸν Βάκιν καὶ τὸν Γλάνιν εἰπών. ἔστι δὲ εἶδος ἰχθύος ὁ γλάνις. VEΓΘMLh

book 1004b γεραιτέρου] συνετωτέρου. EΓ3

book 1008a περὶ σκόμβρων νέων: εἶδος ἰχθύων οἱ σκόμβροι παρόμοιοι τοῖς μικροῖς θύννοις. “νέων” δέ, νεωστὶ τεταριχευμένων. ἔπαιξε δὲ ὡς μάγειρος. VEΓΘM

book 1008b σκόμβρων] ἰχθύες οἱ σκόμβροι παρόμοιοι τοῖς μικροῖς θύννοις. Lh

book 1010a τὸ πέος οὑτοσὶ δάκοι] ἔπαιξεν. EΓ2

book 1010b δάκοι] εἴθε. Γ2

book 1010c τὸ πέος] τὸ αἰδοῖον αὐτοῦ ἢ κόπρον· ἔπαιξεν ἐνταῦθα. Lh

book 1011a ὅπως] καὶ πῶς. Γ2

book 1011b νυν] δή. Lh

book 1013a ὁ δοθεὶς χρησμὸς τοῖς Ἀθηναίοις οὗτος· “εὔδαιμον πτολίεθρον Ἀθηναίης ἀγελείης, πολλὰ ἰδὸν καὶ πολλὰ παθὸν καὶ πολλὰ μογῆσαν, αἰετὸς ἐν νεφέλῃσι γενήσεαι ἤματα πάντα.” VEΓ3ΘLh

book 1013b ὡς ἐν νεφέλῃσιν αἰετὸς γενήσομαι: ἐγένετο χρησμὸς τοῖς Ἀθηναίοις, ἐπὶ τοῦ δήμου αὐτῶν λεγόμενος, “αἰετὸς ἐν νεφέλῃσι γενήσεαι”, οἷον ⟦βασιλεὺς μέγασ⟧ ὑπερέξεις ἁπάντων ὥσπερ αἰετὸς τῶν ὀρνέων· οὗ νῦν μέμνηται. τούτου δὲ τοῦ χρησμοῦ καὶ ἐν Ὄρνῖσι καὶ ἐν Δαιταλεῦσι μέμνηται. VEΓΘMLh

book 1013c ὡς] ὅτι. Γ2

book 1013d totus versus] χρησμός· “αἰετὸς ἐν νεφέλῃσι γενήσεται ἤματα πάντα”. M

book 1014 (ad vv. 1014—20) ἄκουε δὴ νῦν: ὁ πρῶτος στίχος ἐνταῦθα ἰαμβικὸς τρίμετρος ἀκατάληκτος, οἱ δὲ ἑξῆς ἓξ δακτυλικοὶ ἑξάμετροι καταληκτικοὶ εἰς δισύλλαβον, οἳ καὶ καλοῦνται ἔπη κυρίως, ὡς Ἡφαιστίων φησί. κατὰ μονοποδίαν γὰρ μετρεῖται, ὡς εἴρηται, δακτυλικά. ἐπὶ τῷ τέλει παράγραφος. Lh

book 1015a (ad vv. 1015—20) ἐν ἐκθέσει στίχοι 〈ἐπικοὶ〉 ἕξ. VΓ3

book 1015b φράζευ] διανοοῦ. Γ2

book 1015c Ἐρεχθεΐδη] ὦ υἱὲ τοῦ Ἐρεχθέως. Γ2

book 1015d ὁδόν] ὑπόθεσιν. Γ2

book 1016a διὰ τριπόδων ἐριτίμων: ἀπὸ τῶν τριπόδων. ἐφ’ ὧν ἐκαθέζετο ἡ πρόμαντις. “ἐριτίμων” δέ, πάνυ τιμίων. τὸ γὰρ “ἐρι–” ἐπίρρημά ἐστιν ἐπιτάσεως, ὡς τὸ “ἐρίηρες” καὶ “ἐριβώλακα” καὶ “ἐρικυδέα”, τὴν μεγάλως ἔνδοξον. VEΓΓ2ΘΜ

book 1016b “τριπόδων” δὲ διὰ τὸ γιγνώσκειν τὰ ἐνεστῶτα, τὰ παρεληλυθότα καὶ τὰ μέλλοντα. Μ

book 1016c ἴαχεν] ἐβόησεν. Γ2

book 1016d ἐξ ἀδύτοιο] ἤγουν ἐκ τοῦ ναοῦ δι’ οὗ οὐκ εἰσέρχεταί τις. Γ2

book 1016e ἐριτίμων] τῶν ἄγαν ἐντίμων. Γ2

book 1016f τριπόδων] ἐφ’ ὧν ἐκαθέζετο ἡ πρόμαντις. Lh

book 1016g ἐριτίμων] πάνυ τιμίων. Lh

book 1017a σῴζεσθαι] σῴζειν καὶ περὶ πολλοῦ ποιεῖσθαι. VEΓ3Lh

book 1017b καρχαρόδοντα] ἀραιοὺς ἔχοντα τοὺς ὀδόντας. Γ2Lh

book 1018a πρὸ σέθεν λάσκων] πρὸ σοῦ ἢ ὑπὲρ σοῦ ὑλακτῶν. VEΓ3

book 1018b χάσκων: δάκνων. γράφεται δὲ καὶ λάσκων, ἀντὶ τοῦ φωνῶν καὶ ὑλακτῶν ὑπὲρ σοῦ. Γ2

book 1018c λάσκων] φωνῶν, ὑλακτῶν. Γ2Lh

book 1019a κἂν μὴ δρᾷ ταῦτα: κἂν μὴ ποιήσῃ ταῦτα ὁ κύων, ἀπολεῖται. EΓΘΜLh

book 1019b ἀπολεῖται] ὁ κύων δηλονότι. Γ2

book 1020a (I) κατακράζουσι: καταθορυβοῦσιν. ἰδίως δὲ νῦν ἐπὶ ὀρνέων. τὸ δὲ κράζειν ἀντὶ τοῦ κρώζειν. VEΓΘΜ (II) ἄλλως: οἱ ἄλλοι ῥήτορες κράζουσι, θορυβοῦσιν. VEΓΘ

book 1020b μίσει] ὑπὸ τοῦ μίσους. Γ2

book 1020c σφε] αὐτόν. Γ2

book 1020d κατακρώζουσι] καταβοῶσιν. Γ2

book 1020e ἰδίως νῦν ἐπὶ τῶν ὀρνέων τὸ κρώζειν ἀντὶ τοῦ κράζειν. οἱ ἄλλοι δὲ ῥήτορες θορυβοῦσι, φασίν. Lh

book 1020f κατακρώζουσι] καταθορυβοῦσιν. Lh

book 1021a (ad vv. 1021—9) καὶ ἐν εἰσθέσει στίχοι ἰαμβικοὶ θʹ. VEΓ3

book 1021b (ad vv. 1021—9) ταυτὶ μὰ τὴν Δήμητρα: οἱ ἑξῆς τῶν εἰρημένων οὗτοι στίχοι ἰαμβικοί εἰσι τρίμετροι ἀκατάληκτοι θʹ. ἐπὶ τῷ τέλει παράγραφος. Lh

book 1021c ταυτὶ] ἤγουν τὰ λόγια ἅπερ εἶπες. Γ2

book 1021d ἐγὼ οὐκ] συνίζησις. Lh

book 1023a πρὸ σοῦ ἀπύω] ὑλακτῶ ὑπὲρ σοῦ. EΓ3Lh

book 1023b ἀπύω] ὑλακτῶ, βοῶ. Γ2

book 1024a εἶπε] ὁ Φοῖβος προσέταξεν. Γ2

book 1024b σῴζεσθαι] ἤγουν σῴζειν καὶ περὶ πολλοῦ ποιεῖσθαι. Γ2

book 1026 ὥσπερ θύρας σου: οἱ γὰρ ἀποκλειόμενοι κύνες τὰς θύρας περιεσθίουσι βουλόμενοι ἑαυτοῖς ποιῆσαι ἔξοδον. VEΓΘΜLh

book 1028 λήψομαι] λάβω. Lh

book 1029 ὁ χρησμὸς ὁ περὶ τοῦ κυνὸς] ὁ ἐν τῷ χρησμῷ κύων. V2ΕΓ2Lh

book 1030a (ad vv. 1030—4) καὶ ἐν ἐκθέσει στίχοι 〈ἐπικοὶ〉 ι′. Γ3

book 1030b (ad vv. 1030—4) φράζ’ Ἐρεχθεΐδη: οἱ ἑξῆς οὗτοι στίχοι δακτυλικοί εἰσιν ὅμοιοι τοῖς εἰρημένοις ε′· ἐπὶ τῷ τέλει παράγραφος. Lh

book 1030c ἀνδραποδιστήν: σωματέμπορον, τοὺς ἐλευθέρους καταδουλούμενον. VΕΓ2MLh

book 1031a ὃς κέρκῳ σαίνων: τῇ οὐρᾷ σαίνων, οἷον ὑποτρέχων καὶ κολακεύων. ἔπαιξε δὲ παρὰ τὴν παροιμίαν “σαίνεις δάκνουσα 〈καὶ〉 κύων λαίθαργος εἶ”. ἐπὶ τῶν ὑποκρινομένων δῆθεν εὐνοεῖν, ἐπιβουλευόντων δὲ λάθρᾳ. VΕΓΓ2 ΘMLh

book 1032a ἄλλοσε χάσκῃς] ἤγουν ὅταν περὶ ἄλλα τὴν διάνοιαν ἔχῃς. ΕΓ2Lh

book 1032b ἐξέδεται] ἐκτρώγει. Lh

book 1032c τοὔψον] τὸ βρῶμα. Lh

book 1032d που] ἴσως. Lh

book 1033a ἐς τοὐπτάνιον: ἀντὶ τοῦ ἐπὶ τὸ πρυτανεῖον εἰπεῖν, εἶπεν “εἰς τοὐπτάνιον”, τουτέστι τὸ μαγειρεῖον. VΕΓΘMLh

book 1033b ὀπτάνιον: οὕτως καὶ ἐν ἄλλαις β′. V2

book 1033c κυνηδὸν] καὶ δίκην κυνός. Γ2

book 1034a (I) νύκτωρ τὰς λοπάδας: ὅτι τοὺς φόρους τῶν νήσων καὶ τῶν πόλεων ἀφήρπαζεν. ὡς οἱ κύνες εἰς τὰ μαγειρεῖα εἰσιόντες περιλείχουσι τὰς λοπάδας καὶ τὰς χύτρας, οὕτω καὶ ὁ Κλέων, ἐάν τι τοῖς νησιώταις περιλειφθῇ, καὶ τοῦτο λαμβάνει. VΕΓΘM (II) ἄλλως: ἔπαιξε πρὸς τὸ γιγνόμενον ὑπὸ τῶν κυνῶν. οὗτοι γὰρ ἁρπάσαντές τι εἰώθασιν εἰς τοὺς ἡσυχίαν ἔχοντας τόπους ἀναχωρήσαντες ἐμφορεῖσθαι. VΕΓΘ

book 1034b “νύκτωρ” δὲ εἶπε διὰ τὸ τοὺς ἁρπάσαντάς τι κύνας εἰς τὴν ἡσυχίαν αὐτῶν ἐμφορεῖσθαι. M

book 1034c καὶ τὰς νήσους διαλείχων: ὅτι ἀντὶ τοῦ εἰπεῖν τὰς χύτρας παρ’ ὑπόνοιαν εἶπε “τὰς νήσους”: τουτέστι τοὺς τῆς πόλεως φόρους διαρπάζων καὶ τοὺς νησιώτας διασείων. VΕΓΘM

book 1034d ἔπαιξε πρὸς τὸ γινόμενον ὑπὸ τῶν κυνῶν. οὗτοι γὰρ ἁρπάσαντές τι ἐν ἡσυχίᾳ τότε ἀναχωρήσαντες ἐμφοροῦνται. Lh

book 1034e ὥσπερ οἱ κύνες τὰ μαγειρεῖα εἰσιόντες περιλείχουσι τὰς λοπάδας, οὕτως ὁ Κλέων τοὺς φόρους τῶν πόλεων καὶ τῶν νήσων ἀφήρπαζεν. ἀντὶ τοῦ εἰπεῖν δὲ τὰς χύτρας παρ’ ὑπόνοιαν εἶπε “τὰς νήσους”, ὅτι καὶ τὰς πόλεις καὶ τὰς νήσους διέσεισε καὶ τοὺς φόρους ἐλάμβανεν. Lh

book 1035a (ad vv. 1035—6) ἴαμβοι β′. ΕΓ3

book 1035b (ad vv. 1035—40) νὴ τὸν Ποσειδῶ: οἱ ἑξῆς οὗτοι στίχοι, ὁ μὲν πρῶτος καὶ δεύτερος εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, οἱ δὲ λοιποὶ δ′ δακτυλικοὶ ὅμοιοι τοῖς εἰρημένοις. ἐπὶ τῷ τέλει παράγραφος. Lh

book 1035c totus versus] πρὸς τὸν ἀλλαντοπώλην. ΕΓ3

book 1037a (ad vv. 1037—40) ἐν ἐκθέσει ἐπικοὶ δ′. ΕΓΓ3Θ

book 1037b ἱεραῖς] μεγάλαις. Γ2

book 1038a κώνωψι: τοῖς ῥήτορσιν, ἤγουν τοῖς Μήδοις λέγει. VΕΓΘLh

book 1038b κώνωψι] ῥήτορσιν. Γ2

book 1038c μαχεῖται] μέλλει μαχήσεσθαι. Γ2

book 1039a

ὥς τε περὶ σκύμνοις: ὡς λέων ὑπερμαχῶν τῶν σκύμνων. ΕΓΓ3ΘLh

book 1039b ὥς τε] καθά. Γ2

book 1039c περὶ σκύμνοισι] ἤγουν περὶ τοῖς γεννήμασιν αὐτοῦ. Γ2

book 1039d βεβηκώς] ἀντὶ (sc. ἀντιβεβηκώς). Γ2

book 1039e φυλάξαι] ἀσφαλίσαι. ΕΓ3Lh

book 1040a τεῖχος ποιήσας: τὰς ναῦς φησί. οὗτος δὲ ὁ χρησμὸς ἐπιόντος τοῦ βαρβάρου ἐδόθη. ἀγνοούντων δὲ αὐτῶν καὶ βουλομένων ξυλίνῳ τειχίσαι τὴν πόλιν τείχει, Θεμιστοκλῆς ὁ στρατηγὸς νοήσας τὸν χρησμὸν εἶπε τεῖχος τὰς ναῦς λέγειν. μετέστησαν δὲ τότε εἰς Σαλαμῖνα. ἔστι δὲ ὁ χρησμός “τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρυόπα Ζεύς.” VΕΓΘ

book 1040b περὶ τούτου τοῦ χρησμοῦ εἴρηται ἄνω που, ὅτε περὶ Θεμιστοκλέους ἐμνήσθη. Lh

book 1040c τεῖχος] τὰς ναῦς λέγει. Lh

book 1040d πύργους] οἷον ὅπλα. Lh

book 1041 (ad vv. 1041—50) καὶ ἐν εἰσθέσει ἴαμβοι ι′. ΕΓΓ3Θ

book 1044 Ἀντιλέων: οὗτος πονηρὸς κωμῳδεῖται καὶ πολυπράγμων. προειρήκει δὲ ὁ Κλέων ἀντὶ τοῦ λέοντος αὐτῷ εἶναι φύλαξ. VΕΓΘMLh

book 1046a σιδηροῦν τεῖχός ἐστι καὶ ξύλινον: ἀντὶ τοῦ ἐκ ξύλων σιδηρῶν· οὕτω τὸ ἑξῆς. VV2EGQLh

book 1046b τεῖχος ποιήσας ξύλινον (1040): ἀντὶ τοῦ ἐκ ξύλων σιδηρῶν. παίζει δὲ πρὸς τὸν χρησμόν. ἐκεῖνος δὲ ὁ χρησμὸς τὰς ναῦς ἔλεγεν ἐπιόντος τοῦ βαρβάρου. ἀγνοούντων δὲ αὐτῶν καὶ μὴ βουλομένων ξυλίνῳ τείχει περιτειχίσαι τὴν ἀκρόπολιν, Θεμιστοκλῆς ὁ στρατηγὸς νοήσας τὸν χρησμὸν εἶπε τεῖχος τὰς ναῦς λέγειν τὸν θεόν. M

book 1046c ξύλων] ξύλινον. M

book 1047 σῴζειν] φυλάττειν. ΕΓ3Lh

book 1049a πεντεσυρίγγῳ: πέντε ὀπὰς ἔχοντι, δι’ ὧν οἵ τε πόδες καὶ αἱ χεῖρες καὶ ὁ τράχηλος ἐνεβάλλετο. λέγει δὲ τὴν ποδοκάκην. VΕΓΘLh

book 1049b πεντεσυρίγγῳ ξύλῳ: τὴν ποδοκάκην φησί, πεντεσύριγγον ξύλον πέντε ὀπὰς ἔχον, ἐν αἷς οἵ τε πόδες καὶ αἱ χεῖρες καὶ ὁ τράχηλος ἐνεβάλλοντο. M

book 1049c πεντεσυρίγγῳ ξύλῳ] τῇ ποδοκάκῃ φησίν. Γ3

book 1050a τὰ λόγι’: ἀντὶ τοῦ ἤδη δεσμεύσω αὐτόν. ΓΓ3ΘLh

book 1050b τελεῖσθαι] ἀντὶ τοῦ πληροῦσθαι· ἔστι δὲ καὶ τελεῖον ἀρεστόν. φαίνεται τὰ μυστήρια ἀντὶ τοῦ διδάσκεται. Γ2

book 1051a (ad vv. 1051—60) μὴ πείθου· φθονεραὶ γάρ: οἱ ἑξῆς οὗτοι στίχοι δακτυλικοί εἰσιν ὅμοιοι τοῖς εἰρημένοις ι′. ἐπὶ τῷ τέλει παράγραφος. Lh

book 1051b κορῶναι: τοὺς ἐχθροὺς κορώνας φησίν. ΓΓ3ΘLh

book 1051c ἐπικρώζουσι] βοῶσι. Γ2

book 1052a ἀλλ’ ἱέρακα φίλει: ἑαυτὸν λέγει· ἀντὶ τοῦ ἐμέ. ΓΘLh

book 1052b ἱέρακα] ἤγουν ἐμέ. Γ2

book 1053a συνδήσας Λακεδαιμονίων: πάλιν τὴν ἀναφορὰν ποιεῖται ἐπὶ τὴν Πύλον καὶ τὴν Σφακτηρίαν καὶ τοὺς αἰχμαλώτους τοὺς τ′, οὓς ἔλαβε Δημοσθένης ἐπὶ Σικελίαν ἀπιών, ἤγαγε δὲ Κλέων. VΕΓΘMLh

book 1053b κορακίνους: ἔπαιξεν ἀντὶ τοῦ κούρους. ΓΘM

book 1054a

παρεκινδύνευσε: πέρυσι γὰρ ὑπέσχετο τοῖς Ἀθηναίοις ὁ Κλέων κατορθῶσαι τὸν ἐν τῇ Πύλῳ πόλεμον ἕως ἡμερῶν κʹ. καὶ θαυμάσαντες πάντες ἔλεγον αὐτὸν μεθύειν. καὶ Θουκυδίδης δέ φησιν ὅτι τῇ ἀπονοίᾳ τῆς ὑποσχέσεως ἐθαύμαζον οἱ Ἀθηναῖοι καὶ ἐγέλων. VΕΓΘMLh

book 1054b Παφλαγὼν] ὁ Κλέων. Lh

book 1055a Κεκροπίδη: ἀπὸ τοῦ Κέκροπος τοῦ διφυοῦς τὸ γένος κατάγων. VΕΓ2MLh

book 1055b τὸ δὲ "κακόβουλε" ἀπὸ ἱστορίας τοῦ Ποσειδῶνος καὶ τῆς Ἀθηνᾶς. ἐν ᾗ ὁ μὲν Ποσειδῶν πηγὰς ἀνέδωκεν, ἡ δὲ Ἀθηνᾶ τὴν ἐλαίαν. οὗ χάριν ᾑρετίσαντο ταύτην βασιλεύειν τῆς χώρας. διὸ καὶ τὴν περὶ τῇ τοῦ Ποσειδῶνος ὀργῇ γενομένην κακοβουλίαν αὐτοῖς ἡ Ἀθηνᾶ μετατρέπει εἰς εὐβουλίαν. M

book 1056a (I) καί κε γυνὴ φέροι: ἡ ἱστορία τοῦτον τὸν τρόπον ἔχει· ὅτι διεφέροντο περὶ τῶν ἀριστείων ὅ τε Αἴας καὶ ὁ Ὀδυσσεύς, ὥς φησιν ὁ τὴν μικρὰν Ἰλιάδα πεποιηκώς· τὸν Νέστορα δὲ συμβουλεῦσαι τοῖς Ἕλλησι πέμψαι τινὰς ἐξ αὐτῶν ὑπὸ τὰ τείχη τῶν Τρώων, ὠτακουστήσοντας περὶ τῆς ἀνδρείας τῶν προειρημένων ἡρώων. τοὺς δὲ πεμφθέντας ἀκοῦσαι παρθένων διαφερομένων πρὸς ἀλλήλας. ὧν τὴν μὲν λέγειν ὡς ὁ Αἴας πολὺ κρείττων ἐστὶ τοῦ Ὀδυσσέως, διερχομένην οὕτως, "Αἴας μὲν γὰρ ἄειρε καὶ ἔκφερε δηϊοτῆτος ἥρω Πηλείδην, οὐδ' ἤθελε δῖος Ὀδυσσεύς." τὴν δ' ἑτέραν ἀντειπεῖν Ἀθηνᾶς προνοίᾳ, "πῶς ἐπεφωνήσω; πῶς οὐ κατὰ κόσμον ἔειπες; ⟦ψεῦδοσ⟧ 〈καί κε γυνὴ φέροι ἄχθος, ἐπεί κεν ἀνὴρ ἀναθείη, ἀλλ' οὐκ ἂν μαχέσαιτο〉". τοῦτο δὲ ἵνα δείξῃ ὡς Δημοσθένους, οὐ τοῦ Κλέωνος, τὸ κατόρθωμα. VΕMLh

book 1056a (II) ἄλλως: τοῦτο ἐκ τοῦ Κύκλου ἀφείλκυσται. λέγεται δὲ ἀπὸ τῶν Τρῳάδων κρινουσῶν τὸν Αἴαντα καὶ τὸν Ὀδυσσέα. λέγεται δὲ ὅτι οὐ τὸ τοῦ Αἴαντος ἔργον, ἀλλὰ τὸ τοῦ Ὀδυσσέως. ταῦτα δὲ λέγει διὰ τὰ ἐν Πύλῳ, ἃ Δημοσθένης μὲν προήνυσεν, οὗτος δὲ ἰδιοποιήσατο. VΕΓΘLh

book 1056b φέροι] ὑπομένοι. Γ2

book 1056c ἐπεί κεν] ἀντὶ τοῦ πῶς ἄν. Γ2

book 1057 χέσαιτο .... μαχέσαιτο] ἔπαιξε πρὸς τὸ τέλος τοῦ στίχου. ΕΓ3Lh

book 1058 πρὸ Πύλου Πύλον: πρὸς τὴν κατάληξιν ἔπαιξεν, ὅτι ἀεὶ προσκορής ἐστι περὶ Πύλου λέγων. VΕΓΘMLh

book 1059 ἔστι Πύλος: τοῦτο χρησμός ἐστιν, "ἔστι Πύλος πρὸ Πύλοιο, Πύλος γε μὲν ἔστι καὶ ἄλλη.". VΕΓΘLh

book 1060a τὰς πυέλους: ἀντὶ τοῦ τὴν ἐν Πύλῳ πρᾶξιν Δημοσθένους. ἔπαιξε δὲ τῷ ὀνόματι, διὰ τὸ συνεχῶς τῆς Πύλου μεμνῆσθαι τὸν Κλέωνα. VΕΓΘLh

book 1060b πυέλους: λέγει τὰς λεκάνας. ἔπαιξε δὲ τῷ ὀνόματι, διὰ τὸ συνεχῶς τῆς Πύλου μεμνῆσθαι τὸν Κλέωνα. M

book 1060c τὰς πυέλους: τὰς ἐμβάσεις. ΕΓΘ

book 1060d πυέλους] λεκάνας. M

book 1066 ἀποδοθήσεται: ὡς τοῦ Κλέωνος ἀποστεροῦντος. ΕΓΓ2ΘLh

book 1067a (ad vv. 1067—9) Αἰγείδη φράσσαι: ἐν ἐκθέσει ἐπικοὶ τρεῖς. VΓΘ

book 1067b (ad vv. 1067—9) Αἰγείδη φρᾶσαι: οἱ ἑξῆς οὗτοι στίχοι δακτυλικοί εἰσιν ὅμοιοι τοῖς εἰρημένοις γʹ. ἐπὶ τῷ τέλει παράγραφος. Lh

book 1067c ἀπὸ δὲ τῶν βʹ ζῴων διαβάλλει τὸν Κλέωνα ὡς ἀναιδῆ καὶ πανοῦργον. VΓΘMLh

book 1067d μή σε δολώσῃ: μὴ δόλῳ σε ὑπέλθῃ. ΕΓΓ2ΘM

book 1067e φράσαι] διάγνωθι. Γ2

book 1067f

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κυναλώπεκα] πανοῦργον. Γ2

book 1068a λαίθαργον: λαίθαργοι κύνες λέγονται αἱ λάθρᾳ προσιοῦσαι καὶ δάκνουσαι. παρὰ δὲ τὴν παροιμίαν ἔπαιξεν, “σαίνεις δάκνουσα καὶ κύων λαίθαργος εἶ.” VΓΘ

book 1068b λαίθαργον: τὸν λάθρᾳ προσιόντα καὶ δάκνοντα. περὶ δὲ τῆς παροιμίας ἔπαιξε “σαίνεις δάκνουσα 〈καὶ〉 κύων λαίθαργος εἶ.” M

book 1068c πολύιδριν: ὅτι πολύπειροι αἱ ἀλώπεκες. καὶ παροιμία “πόλλ’ οἶδ’ ἀλώπηξ, ἀλλ’ ἐχῖνος ἓν μέγα.” VΓΘM

book 1068d κερδώ] ἀλώπεκα. Γ2

book 1068e πολύιδριν λέγει τὸν Κλέωνα ἀλώπεκα, ὅτι πολύπειροι αἱ ἀλώπεκες. καὶ παροιμία “πόλλ’ οἶδ’ ἀλώπηξ, ἀλλ’ ἐχῖνος ἓν μέγα”. ἔπαιξε δὲ παρὰ τὴν ἑτέραν παροιμίαν “σαίνεις δάκνουσα καὶ κύων λαίθαργος εἶ.” Lh

book 1068f λαίθαργον] λαίθαργοι κύνες αἱ λάθρᾳ προσιοῦσαι καὶ δάκνουσαι. Lh

book 1068g πολύιδριν] ὅτι πολύπειροι αἱ ἀλώπεκες. Lh

book 1069 Φιλόστρατος ἡ κυναλώπηξ: οὕτως ἐκαλεῖτο Φιλόστρατος. λέγει δὲ αὐτὸν καὶ πορνοβοσκὸν καὶ καλλωπίστην. VΓΘLh

book 1070a (ad vv. 1070—9) ἐν εἰσθέσει δὲ ἴαμβοι δέκα, σὺν οἷς προαναφωνεῖ ἅμα τὸ “εἶεν”. VΓΘ

book 1070b (ad vv. 1070—9) οὐ τοῦτό φησιν: οἱ ἑξῆς οὗτοι στίχοι ἰαμβικοί εἰσι τρίμετροι ἀκατάληκτοι η′. ἑξῆς δὲ κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον. λείπεται γὰρ ὅλου ποδὸς πρὸς τὴν συζυγίαν. καὶ ἑξῆς αὖ στίχος ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. ἐπὶ τῷ τέλει παράγραφος. Lh

book 1070c ἀλλὰ ναῦς ἑκάστοτε: τὰς ἐκπεμπομένας ἀπὸ τῶν νήσων ἀναπράττεσθαι τοὺς φόρους. οἱ δὲ ἐκπεμπόμενοι πολλὰ ἐκέρδαινον. VΓΘMLh

book 1071 ταχείας ἀργυρολόγους: πολεμίας, τὰς συλλεγούσας ἀργύριον καὶ λήμματα αὐτῷ περιποιούσας. ἐλέγοντο δὲ πάραλοι καὶ σαλαμίνιαι. VΓΘMLh

book 1072 ἀπαυδᾷ] λέγει καὶ προστάττει. Γ2

book 1073 τριήρης] ἡ ναῦς. Lh

book 1075 πρὸς] σύν. Γ2

book 1076a ἀλωπεκίοις τοὺς στρατιώτας: ὡμοίωσε, φησίν, αὐτοὺς ἀλώπηξιν. τοῦτο δέ φησι, παρ’ ὅσον παραπλέοντες οἱ ναῦται ἐξορμῶσιν, ἔπειτα ἐπειδὰν παρίωσιν ἀμπέλους, πορθοῦσι τοὺς βότρυας διαρπάζοντες. VΓΘ

book 1076b ᾔκασεν] ἐξωμοίωσεν. Γ2

book 1076c τοῦτό φησι παρόσον παραπλέοντες οἱ ναῦται ἐξορμῶσιν, ἔπειτα παρερχόμενοι εἰς ἀμπέλους πορθοῦσι τοὺς βότρυας διαρπάζοντες, ἢ καὶ τοὺς ἄλλους ἀγροὺς ἐκπορθοῦσι τῶν νεῶν ἐκπηδήσαντες. Lh

book 1076d totus versus] ἀλώπηξιν ὡμοίωσε, φησίν, αὐτούς. Lh

book 1077a ὁτιὴ βότρυς τρώγουσιν: ἐκπηδῶντες τῶν νηῶν τοὺς ἀγροὺς πορθοῦσι. V

book 1077b χωρίοις] ἀγροῖς. Γ2

book 1078a τούτοις ὁ μισθός: αἰνίττεται διὰ τούτων περὶ τῶν θεωρικῶν χρημάτων, ὅτι χρὴ μᾶλλον τοῖς στρατευομένοις αὐτὰ δίδοσθαι. VEΓΘ

book 1078b εἶεν] ὑπάρχοιεν. Γ2

book 1078c ἀλωπεκίοισι] ἤγουν τοῖς στρατιώταις τοῖς ἐν ταῖς ὑπαρχείων ναυσί. Γ2

book 1078d εἶεν] ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον. Lh

book 1079a ἡμερῶν τριῶν: εἰώθασιν εἰς τὸν πόλεμον οἱ στρατιῶται ἐξερχόμενοι λαμβάνειν τροφὴν ἡμερῶν τριῶν. VΕΓΘMLh

book 1079bποριῶ] ἐξευρήσω. Γ2

book 1080a ἐξαλέασθαι] διαφυγεῖν. E

book 1080b ἐξαλέασθαι] ἐκφυγεῖν. Γ2

book 1080c ἐξαλέασθαι] φυγεῖν. Lh

book 1081a Κυλλήνην: Κυλλήνη ὄρος ἐστὶ τῆς Ἀρκαδίας. δι' ὅ τι δὲ ἐχρήσατο τῷ ὀνόματι, δῆλον ἀπὸ τῶν ἑξῆς· ἵνα παρονομάσῃ τὴν κυλλὴν χεῖρα, εἰς δωροδοκίαν καὶ διασεισμὸν διαβάλλων τὸν Κλέωνα. οἱ γὰρ διασείοντές τινας καὶ δωροδοκοῦντες κοιλαίνουσι τὴν χεῖρα, καὶ ὑποβάλλοντες ὑπὸ τὸ ἱμάτιον αἰτοῦσιν VΕΓΘM

book 1081b Λητοΐδης] ὁ Ἀπόλλων. Γ2

book 1081c τίνος χάριν τῷ ὀνόματι τῆς Κυλλήνης ἐχρήσατο δῆλον ἀπὸ τῶν ἑξῆς. παρωνόμασε γὰρ τοῦ κοιλαίνειν τὸν Κλέωνα τὴν χεῖρα καὶ δωροδοκεῖσθαι. οἱ γὰρ διασείοντές τινας καὶ δωροδοκοῦντες κοιλαίνουσι τὴν χεῖρα, καὶ ὑποβάλλοντες ὑπὸ τὸ ἱμάτιον αἰτοῦσιν. Lh

book 1081d Κυλλήνην] πόλις Ἀρκαδίας. Lh

book 1081e Κυλλήνην, μή σε δολώσῃ] διαβάλλει αὐτὸν εἰς δωροδοκίαν. Lh

book 1082a τὴν τούτου χεῖρ' ἐποίησε: ἐκ μεταφορᾶς τῶν παιδίων τῶν αἰτούντων καὶ κοιλαινόντων τὰς χεῖρας ᾐνίξατο. VΓΘLh

book 1082b ἐποίησε] εἶπεν. E

book 1083 ἔμβαλε κυλλῇ: οἱ μάγειροι ἐπειδὰν πλάττωσί τι, λέγουσιν "ἔμβαλε τῇ λαιᾷ". VΕΓΘLh

book 1085a τὴν Διοπείθους: σεσίνωτο τὰς χεῖρας ὁ Διοπείθης καὶ ἦν κυλλός .... κατὰ καιρὸν οὖν διαβάλλει αὐτὸν ὡς κλέπτην. ἦν δὲ καὶ Νικίου ἑταῖρος. VΕΓΘM

book 1085b ᾐνίξατο] αἰνιγματωδῶς εἶπε. Γ2

book 1085c καλὸς γὰρ ἦν ὁ Διοπείθης τὰς χεῖρας. κατὰ καιρὸν οὖν διαβάλλει αὐτὸν ὡς κλέπτην. ἦν δὲ καὶ Νικίου ἑταῖρος. Lh

book 1086a πτερυγωτός: πρὸς τὸν αἰετὸν ἐχρήσατο τῷ "πτερυγωτός". χρησμὸς γὰρ ἐξέπεσε τοῖς Ἀθηναίοις, ὡς ἄρα δέοι αὐτοὺς τοσοῦτον διενεγκεῖν τῶν ἄλλων ἀνθρώπων, ὅσον αἰετὸς τῶν πτηνῶν. VΕΓΘM

book 1086b προείρηται περὶ τοῦ χρησμοῦ τούτου. φησὶ δὲ ὡς ἄρα δέοι τοσοῦτο διενεγκεῖν τοὺς Ἀθηναίους τῶν ἄλλων ἀνθρώπων, ὅσον ἀετὸς τῶν πτηνῶν. Lh

book 1086c πτερυγωτός] πτηνός. πρὸς τὸ "ἀετὸς" δὲ ἐχρήσατο καὶ τῷ "πτερυγωτός". Lh

book 1088a καὶ γὰρ ἐμοί] ἔστι καὶ ἐμοὶ χρησμὸς δηλονότι. Γ2

book 1088b θαλάττης] ἄρξεις δηλονότι. Γ2

book 1089a ἐν Ἐκβατάνοις: ἐν τῇ βαρβάρων χώρᾳ. Σοῦσα γὰρ καὶ Ἐκβάτανα τῆς Περσίδος χώρας 〈πόλεις〉. ἄρξεις οὖν, φησίν, οὐχ Ἑλλήνων μόνον ἀλλὰ καὶ βαρβάρων. VΓΘ

book 1089b χὤτι γ' ἐν Ἐκβατάνοις: ἐν τῇ Περσίδι. Σοῦσα γὰρ καὶ Ἐκβάτανα πόλεις αὐτόθι, ὧν ἐν μὲν τῇ ἑτέρᾳ ἐχείμαζεν ὁ βασιλεύς, ἐν δὲ τῇ ἑτέρᾳ ἐθέριζεν. VM

book 1089c δικάσεις] κρινεῖς. Γ2

book 1089d λείχων ἐπίπαστα] ἀντὶ τοῦ κρίνων· ἐχρήσατο δὲ τῇ λέξει ὡς μάγειρος. Γ2

book 1089e χὤτι γ' ἐν Ἐκβατάνοις] οὐ μόνον Ἑλλήνων ἀλλὰ καὶ ἐν βαρβάρων χώραις, φησίν, ἄρξεις. Lh

book 1091a

καταχεῖν: ὅτι τὸ “καταχεῖν” οὐ πάντως ἐπὶ ὑγροῦ, ἀλλὰ καὶ τὴν ἀμβροσίαν ἐπιφέρει, ὅ ἐστι ξηρόν. ἀρύταινα δὲ χαλκοῦν σκεῦος, ᾧ τὸ ἔλαιον ἐγχέουσιν εἰς τοὺς λύχνους. VΓΘΜ

book 1091b καταχεῖν] ἀμβροσίαν ἐπιφέρειν. οὐ γὰρ μόνον ἐπὶ ὑγροῦ τὸ καταχεῖν. ἀρύταινα δὲ χαλκοῦν σκεῦος. Lh

book 1093 ἐκ πόλεως ἐλθεῖν: ἐκ τῆς ἀκροπόλεως. γλαῦξ δὲ ἱερὸν ὄρνεον Ἀθηνᾶς. ἐνετετύπωτο δὲ τῷ Ἀττικῷ νομίσματι. VΓΘΜ

book 1094a ἀρυβάλλῳ: πλεκτόν τι βαλλάντιόν ἐστιν ὁ ἀρύβαλλος, ὅπερ ἑλκόμενον κλείεται καὶ ἀνοίγεται, παρὰ τὸ ἀρύειν καὶ βάλλειν. VΕΓΘΜLh

book 1094b 〈κατασπένδειν: χεῖν〉. χεῖσθαι δὲ λέγεται οὐ μόνον τὰ ὑγρά, ἀλλὰ καὶ τὰ στερεά, ὡς καὶ νῦν ἐπὶ ἀμβροσίας ἔταξεν. VΕΓΘΜ

book 1094c ἀρυβάλλῳ] ἀγγείῳ. Γ2

book 1094d κατασπένδειν] καταχέειν· καὶ τοῦτο οὐ μόνον ἐπὶ ὑγροῦ, ἀλλὰ καὶ ἐπὶ τροφῆς νῦν εἴρηται. Lh

book 1095 σκοροδάλμην] διὰ τὸ δριμύ. Lh

book 1096 ἰοὺ ἰού] ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. Lh

book 1097 (ad vv. 1097—1110) ἰοὺ ἰού: ἔκθεσις κορωνίδος ἐκ στίχων ἰαμβικῶν ὧν προτίθεται τὸ παρὸν κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον· οἱ δέ εἰσι τρίμετροι ἀκατάληκτοι ιδʹ, ὧν τελευταῖος “τρέχοιμ’ ἂν ἤδη πρότερος:: οὐ δῆτ’, ἀλλ’ ἐγώ”. ἐπὶ τῷ τέλει κορωνίς, ἐξιόντων τῶν ὑποκριτῶν. Lh

book 1098 ἐπιτρέπω] δίδωμι. Lh

book 1099 γεροντagωγεῖν: ἔπαιξε παρὰ τὸ δημαγωγεῖν. τοῦτο δὲ λέγει ὁ Δῆμος, ὡς τοῦ Κλέωνος κατεγνωσμένου. ὅλον δὲ τὸ ἰαμβικὸν παρῴδησεν ἀπὸ Πηλέως Σοφοκλέους. VΕΓΘΜLh

book 1101aποριῶ] μέλλω παρέξειν. Γ2

book 1101b βίον] ζωήν. Lh

book 1103 Θουφάνους: ὡς κόλακα κωμῳδεῖ τοῦτον καὶ ἀπατεῶνα, καὶ τῷ Κλέωνι συνόντα διὰ κολάκειαν. ἦν δὲ ὑπογραμματεύς. VΓΘΜLh

book 1104 ’σκευασμένα] ηὐτρεπισμένα. Lh

book 1105a ἐγὼ δὲ] ποριῶ. Γ2

book 1105b διαμεμαγμένας] πεφυραμένας. ΕLh

book 1105c διαμεμαγμένας] διαπεφυραμένας, ἢ εἶδος πλακοῦντος. Γ2

book 1106 καὶ τοὖψον: καὶ τὸ ὄψον. ⟦ἐκάλουν δὲ οὕτως τὸ ἰχθύδιον⟧. τὸ δὲ ἑξῆς, μόνον τῷ ἐσθίειν σχόλαζε· τοιαύτην γὰρ ἐγώ σοι ἀφθονίαν παρέξω. VΕΓΘΜLh

book 1107 ἀνύσατε: ἔργῳ πληρώσατε καὶ μὴ λόγοις μόνοις ἐπαγγέλλεσθε. VΕΓΘLh

book 1108a σφῶϊν] συνίζησις. Lh

book 1108b εὖ ποιῇ] ἐν τῷ κομίσαι. Lh

book 1109 τὰς ἡνίας: τὴν ἐξουσίαν. τροπικῶς ἀπὸ τῶν ἁρμάτων. ταῖς γὰρ ἡνίαις ἡνιοχοῦνται οἱ ἵπποι· καὶ οἱ δῆμοι δὲ διὰ τῶν πολιτευομένων. VΕΓΘΜLh

book 1110 τρέχοιμ’ ἄν: ἐγγύθεν ἀπὸ τοῦ τὰς ἡνίας τὸ “τρέχοιμι” ἐπήγαγεν. διαβάλλει δὲ πάλιν τοὺς Ἀθηναίους ὡς ἥττονας κέρδους. VΕΓΘΜ

book 1111a (ad vv. 1111—50) ὦ Δῆμε: διπλῆ καὶ ἐν εἰσθέσει μέλος μονοστροφικὸν ἀμοιβαῖον περιόδων τεσσάρων ἐναλλὰξ τοῦ χοροῦ 〈καὶ τοῦ ὑποκριτοῦ〉. δεκάκωλοι δέ εἰσιν αἱ περίοδοι, Ἰωνικαὶ ἀπὸ μείζονος, ὧν τὰ μέν ἐστιν ἑφθημιμερῆ, δύο δὲ ἡμιόλια, τὸ τέταρτον καὶ τὸ δέκατον. VΕΘΜ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1111b (ad vv. 1111—50) ὦ Δῆμε καλήν γ’ ἔχεις: κορωνὶς καὶ ἐν εἰσθέσει μέλος τετράστροφον ἀμοιβαῖον περιόδων δ′ ἐναλλὰξ τοῦ χοροῦ καὶ τοῦ ὑποκριτοῦ. δεκάκωλοι δέ εἰσιν αἱ περίοδοι, τὸ δὲ μέτρον Ἰωνικὸν ἀπὸ μείζονος, ὧν τὰ μέν ἐστι δίμετρα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ οἷς καὶ Ἀνακρέων ἐχρήσατο, τὰ δὲ ἡμιόλια ἤτοι δίμετρα βραχυκατάληκτα, τὸ τέταρτον καὶ δέκατον ἑκάστης στροφῆς. ἔστι δὲ ἡμιόλιον ὡς εἴρηται τὸ ἔχον τὸ ὅλον καὶ τὸ ἥμισυ τοῦ ὅλου. ταῦτα δὲ τὰ κῶλα ἔχει μὲν τὸν Ἰωνικὸν πόδα, τὰς δ′ συλλαβάς, ἤτοι τὸν παιῶνα, ἔχει δὲ καὶ τὸ δεύτερον τούτου τὰς δύο. μετὰ δὲ περίοδον ἑκάστην τίθεται παράγραφος, ὡς καὶ ἄνω εἴρηται, ἐν δὲ τῇ τελευταίᾳ περιόδῳ παράγραφος καὶ κορωνίς. Lh

book 1112 ὅτε] ἐπειδή. Γ2

book 1113 δεδίασι] φοβοῦνται. Γ2

book 1115a εὐπαράγωγος] εὐπειθής. VELh

book 1115b εὐπαράγωγος] εὐκόλως πιθόμενος καὶ ἐξαπατώμενος. καὶ παράγεται ἀντὶ τοῦ ἐξαπατᾶται. Γ2

book 1115c εὐπαράγωγος] εὐκόλως ὑπείκων τοῖς κολακεύμασιν. Lh

book 1118 τόν τε λέγοντ’] τὸν ἐπαινοῦντά σε. Lh

book 1119 κέχηνας] τεταμένος ὁρᾷς. Lh

book 1121a νοῦς οὐκ ἔνι ταῖς κόμαις: οἷον ἐν τῷ ἐγκεφάλῳ ὑμῶν· ὅτι ἐκόμων οἱ ἱππεῖς. ἐγκέφαλος οὐκ ἔστιν ὑμῖν, οὐδὲ ἐστὲ φρενήρεις. VEΓΘMLh

book 1121b ταῖς κόμαις] ἤγουν τῷ ἐγκεφάλῳ. Γ2

book 1121c σκώπτει τοὺς ἱππέας ὡς κομῶντας καὶ ἀνοήτους. Lh

book 1122 ὅτε] ἐπειδή. Γ2

book 1124a ἠλιθιάζω: ἀναισθητῶ, προσποιοῦμαι ἠλίθιος εἶναι. ἀναίσθητοι γὰρ οἱ λίθοι, ἀφ’ οὗ καὶ τὸ ἠλίθιος. ἢ ἀντὶ τοῦ ἀνοηταίνω. VEΓΘM

book 1124b ἠλιθιάζω] τὴν ἄνοιαν ὑποκρίνομαι. Γ2

book 1124c ἠλιθιάζω] προσποιοῦμαι ἠλίθιος εἶναι, ἤγουν ἑκὼν ἀνοηταίνω. Lh

book 1126a βρύλλων: ἐξαπατώμενος, ὑποπίνων καὶ μεθύων. Σύμμαχος δὲ ὑποπίνων, ἐκ μιμήσεως τῆς τῶν παίδων φωνῆς. VEΓΘM

book 1126b βρύλλων] πίνων, κερδαίνων. E

book 1126c βρύλλων] ἐξαπατώμενος ὑπό τινων καὶ μεθύων. Lh

book 1126d Σύμμαχος τὸ “βρύλλων” ἀντὶ τοῦ ὑποπίνων φησίν, ἐκ μεταφορᾶς τῆς τῶν παίδων φωνῆς. ἦχον γάρ τινα ποιοῦσι τὰ παιδία πίνοντα. Lh

book 1128a προστάτην: τὸν προϊστάμενον τοῦ δήμου, τουτέστι δημαγωγόν. ΓΘLh

book 1128b προστάτην] δημαγωγόν. E

book 1129a ὅταν ᾖ πλέως: Φαεινός, ἀντὶ τοῦ πλήρης. τουτέστιν ὅταν ηὐξῆσθαι δοκῇ καὶ μέγας εἶναι. VEΓΘM

book 1129b πλέως] πλήρης χρημάτων. Lh

book 1130 ἄρας ἐπάταξα: κατέβαλον, ἐκ μεγάλου καὶ λαμπροῦ ταπεινὸν ἐποίησα, τουτέστιν ἐάσας πλουτῆσαι δημεύω. VEΓΘMLh

book 1132 εἴ σοι πυκνότης: σύνεσις, φρόνησις. εἰ συνεχῶς καὶ περὶ πάντας οὕτω φρονοίης. VEΓΘMLh

book 1134 τούτῳ] τῷ τρόπῳ. Γ2

book 1135 ἐπίτηδες] κατ’ ἐπιτηδειότητα. Γ2

book 1136a

ὥσπερ δημοσίους τρέφεις: λείπει βοῦς ἢ ταύρους, ἢ ἄλλο τι τοιοῦτον θῦμα. ἢ δημοσίους τοὺς λεγομένους φαρμακούς, οἵπερ καθαίρουσι τὰς πόλεις τῷ ἑαυτῶν φόνῳ. ἢ τοὺς δημοσίᾳ τρεφομένους ⟦καὶ ὑπὸ τῆς πόλεως⟧. VEΓΘM

book 1136b δημοσίους] λείπει βοῦς ἢ ταύρους ἢ ἄλλο τι τοιοῦτον εἰς θῦμα. Lh

book 1136c δημοσίους λέγει τοὺς λεγομένους φαρμακούς, οἵπερ καθαίρουσι τὰς πόλεις τῷ ἑαυτῶν φόνῳ. ἔτρεφον γάρ τινας Ἀθηναῖοι λίαν ἀγεννεῖς καὶ πένητας καὶ ἀχρήστους, καὶ ἐν καιρῷ συμφορᾶς τινος ἐπελθούσης τῇ πόλει, λιμοῦ λέγω ἢ τοιούτου τινός, ἔθυον τούτους ἕνεκα τοῦ καθαρθῆναι τοῦ μιάσματος καὶ τῆς ἑαυτῶν κακίας, καὶ θεραπείαν εὑρεῖν τοῦ ἐπικειμένου κακοῦ. οὓς καὶ ἐπωνόμαζον καθάρματα. μέμνηται τούτων ἐν Βατράχοις “οἷσιν ἡ πόλις πρὸ τοῦ οὐδὲ φαρμακοῖσιν εἰκῆ ῥᾳδίως ἐχρήσατ’ ἄν”. Lh

book 1137-8 κᾆθ’ ὅταν μή σοι τύχῃ ὄψον ὄν: τροπικῶς· ὅταν μή σοι πόρος χρημάτων ᾖ. VEΓΘMLh

book 1138 ὄψον] ἤγουν πλοῦτος καὶ πόρος χρημάτων. Γ2

book 1139a ὃς ἂν ᾖ παχύς: πλούσιος. ἡ μεταφορὰ ἀπὸ τῶν χοίρων. VΓΘMLh

book 1139b τούτων] ἀπό. Γ2

book 1140 ἐπιδειπνεῖς: δημεύεις αὐτῶν τὰς οὐσίας. παρέλκει δὲ ἡ ἐπί. ἢ παρὰ τὸ εἰκός. κάλλιον δὲ “ἐπὶ τῷ θῦσαι δειπνεῖς”. ΓΘMLh

book 1142 περιέρχομαι: ἐνεδρεύω, ἀπατῶ. ἢ σοφίζομαι καὶ ὑπέρχομαι. VEΓΘLh

book 1144 ἐξαπατύλλειν] ἐξαπατᾶν. Lh

book 1146a οὐδὲ δοκῶν ὁρᾶν: οὐδὲ προσποιούμενος εἰδέναι ἅπερ ἠδίκουν. ΓΓ2ΘLh

book 1146b οὐδὲ δοκῶν ὁρᾶν] προσποιούμενος μὴ εἰδέναι. E

book 1148 ἐξεμεῖν] ἐκβάλλειν τὰ συναχθέντα χρήματα. Lh

book 1149 ἅττ’ ἂν κεκλόφωσί μου] ὅσα ἂν κεκλοφότες ὦσιν ἐκ τῶν δημοσίων χρημάτων. Lh

book 1150a (I) κημόν: κημὸς ὁ κάδος τῶν δικαστῶν, ἔνθα ἔβαλλον τὰς ψήφους. VΘ (II) ἄλλως: κημὸς ὁ ἐπὶ τοῦ καδίσκου, εἰς ὃν τὰς ψήφους καθίεσαν ἐν τοῖς δικαστηρίοις. Κρατῖνος δὲ αὐτὸν ἐν Νόμοις σχοίνινον ἠθμὸν καλεῖ. τοιοῦτος γὰρ ἐγίγνετο καὶ ἦν παρόμοιος χώνῃ, ὡς καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ. ὕστερον δὲ ἀμφορεῖς δύο ἵσταντο ἐν τοῖς δικαστηρίοις, ὁ μὲν χαλκοῦς, ὁ δὲ ξύλινος. καὶ ὁ μὲν κύριος ἦν, ὁ δὲ ἄκυρος. ἔχει δὲ ὁ χαλκοῦς, ὥς φησιν Ἀριστοτέλης, διερρινημένον ἐπίθεμα, εἰς τὸ αὐτὴν μόνην τὴν ψῆφον καθίεσθαι. πρὸς τοῦτο οὖν ὁ κημός. ἀντὶ δὲ ψήφων ταῖς χοιρίναις οἱ δικασταὶ ἐχρῶντο.

book 1150a αὗται δὲ κόγχαι τινές εἰσιν, ὥς φησιν Ἐπαφρόδιτος ἐν ταῖς λέξεσιν. καὶ ὁ τοῖς ἵπποις δὲ περιτιθέμενος οὕτως ἐκαλεῖτο κημός, ὁ καλούμενος φιμός, ὡς Ξενοφῶν ἐν τοῖς περὶ ἱππικῆς. ⟦πλέγμα τι ἐκ σχοινίων γιγνόμενον ὅμοιον ἠθμῷ, ᾧ τὰς πορφύρας λαμβάνουσιν, εἰς ὃ αἱ πορφύραι καὶ τὰ κογχύλια εἰσέρπουσιν. ἐν αὐτοῖς δὲ τούτοις ἔστι καὶ τὸ δέλεαρ, ὥς φησιν Ἡρωδιανός, παρατιθέμενος τὰ Σοφοκλέους ἐκ Ποιμένων “κημοῖσι πλεκτοῖς πορφύρας θηρᾷ γένος”.⟧ Αἰσχύλος ἐν Λυκούργῳ ἀλληγορικῶς τοὺς δεσμοὺς κημοὺς εἴρηκε διὰ τούτων “καὶ τούσδε κημοὺς στόματος”. VΘ (III) ἄλλως: Φαεινός· κημὸς ὁ χάβος, ὁ περιτιθέμενος τοῖς ἵπποις. καὶ

book 1150a κημῶσαι τὸ συγκλεῖσαι. καὶ οἱ ἰατροὶ δὲ κημῶσαι λέγουσι τὸ τὸν ὀφθαλμὸν φιμῶσαι καὶ μῦσαι. VEΓ2M

book 1150b (I) καταμηλῶν: καταμηλοῦν μὲν ἔλεγον τὸ τὴν μήλην καθίεσθαι ὑπὸ τοῦ ἰατροῦ εἰς τὸν λαιμόν, ὡς ποιοῦσι καὶ οἱ ἐμοῦντες. κημὸς δὲ ἐκαλεῖτο τὸ ἐπιτιθέμενον πλέγμα τῷ καδίῳ, δι’ οὗ οἱ δικασταὶ καθίεσαν τὰς ψήφους. τὸ ὅλον οὖν βούλεται ὅτι καταψηφιζόμενος αὐτῶν καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δικάζων ἀναγκάζω ἐμεῖν τὰς κλοπάς. VEΓ2ΘΜ (II) ἄλλως: "καταμηλῶν" ἀντὶ τοῦ καταδικάζων καὶ ἐξοστρακίζων, ἀπὸ μεταφορᾶς τῶν ἰατρῶν τῶν δοκιμαζόντων διὰ τῆς μήλης. VEΓ2M

book 1150c κημὸν] χάβον. EΓ2

book 1150d καταμηλῶν] καθιεὶς τοῦ λαιμοῦ. EΓ2

book 1150e κημὸς ἐκαλεῖτο ὁ κάδος τῶν δικαστῶν ἔνθα ἔβαλλον τὰς ψήφους. δύο δὲ ἵσταντο ἐν τοῖς δικαστηρίοις κάδοι, ὁ μὲν χαλκοῦς, ὁ δὲ ξύλινος, καὶ ὁ μὲν κύριος, ὁ δὲ ἄκυρος. ἔχει δὲ ὁ χαλκοῦς, ὥς φησιν Ἀριστοτέλης, διερρινημένον ἐπίθεμα εἰς τὸ αὐτὴν μόνην τὴν ψῆφον καθίεσθαι. πρὸς τοῦτο οὖν ὁ κημός. ἀντὶ δὲ ψήφων ταῖς χοιρίναις οἱ δικασταὶ ἐχρῶντο. αὗται δὲ κόγχαι τινὲς ἦσαν, ὥς φησιν Ἐπαφρόδιτος ἐν ταῖς λέξεσι. λέγεται δὲ κημὸς καὶ ὁ τοῖς ἵπποις περιτιθέμενος ἤγουν ὁ καλούμενος φιμός. πλέγμα δέ τί ἐστιν ἐκ σχοινίων ὅμοιον ἠθμῷ, ᾧ τὰς πορφύρας λαμβάνουσιν, εἰς ὃ αἱ πορφύραι καὶ τὰ κογχύλια εἰσέρπουσιν. ἐν αὐτοῖς δὲ τούτοις ἐστὶ καὶ τὸ δέλεαρ, ὥς φησιν Ἡρωδιανός, παρατιθέμενος τὰ Σοφοκλέους ἐκ Ποιμένων "κημοῖσι πλεκταῖς πορφύρας φέρει γένος." καὶ Αἰσχύλος ἐν Λυκούργῳ ἀλληγορικῶς τοὺς δεσμοὺς κημοὺς εἴρηκε διὰ τούτων "καὶ τούσδε κημοὺς στομάτων". Lh

book 1150f κημὸν] φιμόν. Lh

book 1150g καταμηλῶν] εἰσάγων ἐν τῷ στόματι αὐτοῦ καθὰ ποιοῦσιν ἰατροὶ τοῖς ἐμοῦσιν. Lh

book 1151a (I) ἄπαγ' εἰς μακαρίαν: γράφεται "ἔρρ' εἰς μακαρίαν", ἀντὶ τοῦ εἰς ὄλεθρον κατ' εὐφημισμόν. ἐπεὶ καὶ οἱ τεθνεῶτες μακαρῖται λέγονται. VΓΘΜ (II) ἄλλως: Μακαρία Ἡρακλέους θυγατήρ, ἣν οἱ Ἀθηναῖοι ὑπὲρ αὐτῶν θανοῦσαν πολυτελῶς ἔθαψαν. VΓΘΜ (III) ἄλλως: κατὰ τὴν Εὐρυσθέως ἐπὶ τὰς Ἀθήνας στρατείαν λόγος Ἡρακλέους θυγατέρα, Μακαρίαν τοὔνομα, ἑαυτὴν ὑπὲρ τῆς πόλεως εἰς σφαγὴν μεταδοῦναι. τοὺς οὖν Ἀθηναίους κατὰ τιμὴν τῆς παιδὸς αὐτοῦ ἄνθη καὶ στεφάνους παρακελεύεσθαι τοῖς ἄλλοις, .... ὡς τὴν παροιμίαν ἐλθεῖν καὶ ἐπὶ τῶν προθυμουμένων τι. αὖθις δὲ καταχρηστικῶς ὡς ἐπὶ πάσης ἀφοσιώσεως. V (IV) ἄλλως: παροιμιῶδες. ἀπὸ Μακαρίας τῆς Ἡρακλέους θυγατρὸς ἐπιδιδούσης ἑαυτὴν ὑπὲρ τῶν ἀδελφῶν ἀποθανεῖν. ἔθαψαν δὲ αὐτὴν οἱ Ἀθηναῖοι θαυμάσαντες καὶ μεγάλως μακαρίσαντες. τοῦτο δ' ἐγένετο κατὰ τὴν Εὐρυσθέως

book 1151a ἐπὶ τὰς Ἀθήνας στρατείαν. ΘΜ

book 1151b ἄπαγ' εἰς μακαρίαν ἐκποδών] ἢ ὁ Κλέων ἢ ὁ δῆμος. Γ2

book 1151c μακαρίαν] κατ' εὐφημισμόν. Γ2

book 1151d φθόρε] ὀλέθριε. EΓ2M

book 1151e εἰς μακαρίαν] εἰς ὄλεθρον, κατ' εὐφημισμόν. Lh

book 1151f φθόρε] ὄλεθρε, φθοροποιέ. Lh

book 1152 μέντοι] δέ. Γ2

book 1156 προσδοκῶν] ἐπιτηρῶν, σκοπῶν. Γ2

book 1158a δρᾶσον] δράσεις. EΓ2

book 1158b εἰ δὲ μή] οὐκ οἶδα. EΓ2Lh

book 1158c δρᾶσον] Ἀττικῶς ἀντὶ τοῦ δράσεις. Lh

book 1159a ἀπὸ βαλβίδων: βαλβὶς ἡ ἄφεσις τῶν δρομέων. μετήνεγκεν οὖν ἀπὸ τῶν περὶ δρόμους ἁμιλλωμένων ἐν τοῖς ἄγωσιν. VΓΘMLh

book 1159b βαλβὶς δὲ καλεῖται τὸ ἐν τῇ ἀρχῇ τοῦ δρόμου κείμενον ἐγκαρσίως ξύλον, ὃ καὶ ἀφετηρίαν καλοῦσιν, ὅπερ μετὰ τὸ ἑτοιμασθῆναι τοὺς δρομεῖς εἰς τὸ δραμεῖν ἀφαιρούμενοι ἀφίεσαν

τρέχειν· ἀφ’ οὗ καὶ ἀφετηρία ἐκλήθη. βαλβὶς δὲ ἀπὸ τοῦ εἰσβάλλεσθαι βάδην. πρῶτον γὰρ εἰσέρχονται βάδην, εἶτα τοῦ δρόμου ἄρχονται. Lh

book 1161a ὑποθεῖν οὐκ ἐῶ: ὑποτρέχειν καὶ ὑποσκελίζειν καὶ ἐμποδὼν ἵστασθαι. VΓΘMLh

book 1161b ἄπιτον] ἀπέλθετον. Γ2

book 1161c θέοιτ’ ἂν] τρέχετε. Γ2

book 1162 ἀλλ’ ἦ] ὄντως. Γ2

book 1163a ἢ ’γὼ θρύψομαι: ἀντὶ τοῦ συντριβήσομαι, ἢ σφόδρα τρυφήσω καὶ σεμνυνοῦμαι. VΓΘMLh

book 1163b ἦ] καὶ. Γ2

book 1166 μαζίσκην] ἄρτον πεφυραμένον. EΓ2Lh

book 1167a ἐκ τῶν ὀλῶν: ὀλαὶ αἱ μεθ’ ἁλῶν μεμιγμέναι κριθαί, καὶ τοῖς θύμασιν ἐπιβαλλόμεναι. πάλιν δὲ εὐφυῶς ὑπομιμνήσκει τῶν ἐν Πύλῳ. VΓΘM

book 1167b ὀλῶν] κριθῶν. EΓ2

book 1167c τῶν ὀλῶν] τῶν αἱμάτων ἤγουν ἐκ τῆς ἐκεῖ νίκης. Lh

book 1167d μεμαγμένην] κατεσκευασμένην. Lh

book 1168a μεμυστιλημένας: κατειργασμένας ἤδη καὶ ἑτοίμους, τουτέστι μεμασημένας. VΓΘMLh

book 1168b μυστίλας] τροφάς. Lh

book 1169a (I) τῇ χειρὶ τἠλεφαντίνῃ: δύο εἰσὶν ἐπὶ τῆς ἀκροπόλεως Ἀθηνᾶς ναοί, ὁ τῆς πολιάδος καὶ ἡ χρυσελεφαντίνη, ἣν ἀπὸ τῶν Μηδικῶν σκύλων κατεσκεύασαν Φειδίου πλάσαντος. VM (II) ἄλλως: ὡς ἐπὶ ἀγάλματος εἶπε διὰ τὸ μέγεθος τῆς μάζης. V

book 1169b τῆς θεοῦ] ἤγουν τῆς Ἀθηνᾶς. Γ2

book 1169c τἠλεφαντίνῃ] τῇ λαμπρᾷ καὶ λευκῇ. Lh

book 1170a ὡς μέγαν ἄρ’ εἶχες: λεληθότως σεμνολογεῖ τὸ μέγεθος τοῦ ἀγάλματος διὰ τούτου. VΓΘM

book 1170b λεληθότως σεμνολογεῖ τὸ μέγεθος τοῦ ἀγάλματος διὰ τοῦ εἰπεῖν τὸν δάκτυλον αὐτοῦ μέγαν, ὥσπερ καὶ διὰ τοῦ εἰπεῖν ἐν χειρὶ ἐλεφαντίνῃ τὴν λευκότητα καὶ λαμπρότητα καὶ τὸ κάλλος αὐτοῦ. ἕκαστος δὲ φιλονεικεῖ δεῖξαι τὴν τῆς Ἀθηνᾶς εὔνοιαν ἐν τῇ πόλει, ὡς εἰ τοῦτο δείξειε καὶ τὴν ἑαυτοῦ οἴεται δήλην ποιῆσαι πρὸς τὴν πόλιν εὔνοιαν. Lh

book 1171a εὔχρων] ἔχον καλὴν χροιάν, εὐειδές. Γ2

book 1171b ἔτνος γε πίσινον] φάβα. Lh

book 1172a ἐτόρυνε: ὅτι τὰ ὄσπρια ἐν τῇ ἑψήσει διαθρύπτονται. VΓΘMLh

book 1172b ἡ Παλλὰς ἡ Πυλαιμάχος: πάλιν διὰ τὸ ἐν Πύλῳ κατόρθωμα. VΓ2M(bis) Lh

book 1172c ἐτόρυνε] ἐτάραξε. Γ2

book 1172d ἡ Πυλαίμαχος] ἡ ποιησαμένη μάχην ἐν τῇ Πύλῳ. Γ2

book 1172e ἡ Πυλαίμαχος] ἡ ἐν Πύλῳ μαχομένη. M

book 1172f αὔθ’] αὐτό. Lh

book 1173a ἡ θεός ς’ ἐπισκοπεῖ: προΐσταται καὶ φυλάσσει. V

book 1173b ἐπισκοπεῖ] φυλάττει. EΓ2

book 1173c ἐπισκοπεῖ] ἐπιτηρεῖ, εἰσφυλάττει, προΐσταταί σου. Lh

book 1174a καὶ νῦν ὑπερέχει σου χύτραν ζωμοῦ: ἀντὶ τοῦ ὑπερμαχεῖ καὶ ὑπερασπίζει σου. ἀντὶ δὲ τοῦ εἰπεῖν “περικεφαλαίαν”, “χύτραν” εἶπε. VΓΘM

book 1174b

ὑπερέχει σου χύτραν] ἐπὶ τῆς κεφαλῆς σου τίθησι. “περικεφαλαίαν” ὤφειλεν εἰπεῖν, ὁ δὲ “χύτραν” εἶπεν ὡς μάγειρος. Lh

book 1175a οἰκεῖσθ’] σῴζεσθαι. Lh

book 1175b τήνδε τὴν πόλιν] τῶν Ἀθηναίων. Lh

book 1176a ἡμῶν] καὶ ἐπάνω· ἕνεκεν. Γ2

book 1176b τὴν χύτραν] ἤγουν τὴν χεῖρα. ΕΓ2

book 1176c εἰ μὴ φανερῶς ἡμῶν ὑπερεῖχε] ἤγουν εἰ μὴ προφανῶς ὑπ’ ἐκείνης ἐφυλαττόμεθα. Lh

book 1176d τὴν χύτραν] τὴν χεῖρα δέον εἰπεῖν. Lh

book 1177a ἡ Φοβεσιστράτη: ἡ φοβοῦσα τὸν στρατόν· ἑξῆς δὲ τίθησι τὰ ἐπίθετα τῆς θεοῦ. VΕΓΘΜLh

book 1177b τέμαχος] τόμον ἰχθύος. ΕΓ2Lh

book 1177c ἡ Φοβεσιστράτη] ἤγουν ἡ Ἀθηνᾶ ἡ εἰς φόβον ἐμβάλλουσα τὸν στρατόν. Γ2

book 1178a ἡ Ὀβριμοπάτρα] ἕτερον ὄνομα τῆς Ἀθηνᾶς. ἤγουν ἡ ἔχουσα ὄβριμον καὶ ἰσχυρὸν πατέρα. Γ2

book 1178b Ὀβριμοπάτρα] ἡ ἰσχυρὸν ἔχουσα πατέρα, τὸν Δία. Lh

book 1179a χόλικος: χόλικες τὰ παχέα ἔντερα. “χόλικος” δὲ καὶ “ἠνύστρου” ἐκ παραλλήλου τὸ αὐτό. ταῦτα δὲ ἐγκατώδη κρέα. “τόμον” δὲ οἷον τέμαχος. “ἤνυστρον” δὲ ἡ κάτω κοιλία. VΕΓΘΜ

book 1179b χόλικος] παχέος ἐντέρου. MLh

book 1179c ἠνύστρου] στέρνου. ΕΓ2

book 1179d τόμον] κόμμα. ΕΓ2

book 1179e ἠνύστρου] τῆς κάτω κοιλίας. Lh

book 1179f τόμον] τέμαχος. Lh

book 1180 μεμνημένη] ἐνθυμουμένη. Γ2

book 1181a ἡ Γοργολόφα: ἡ ἐκ τῆς κεφαλῆς τῆς Γοργοῦς τὴν περικεφαλαίαν ἔχουσα. ἐλατὴρ δὲ πέμματος εἶδος. τινὲς μὲν ἄζυμα, τινὲς δὲ πεπτά, ὧν εἷς καὶ Εὐριπίδης. ἔπαιξε δὲ τοῖς ὀνόμασι διὰ τὴν περὶ τὰ ναυτικὰ τῶν Ἀθηναίων ἐμπειρίαν. VΕΓΘΜ

book 1181b τουτουῒ] ἀπό, ἤγουν μέρος. Γ2

book 1181c ἡ Γοργολόφα] ἡ ἐκ τῆς κεφαλῆς τῆς Γοργοῦς τὴν περικεφαλαίαν ἔχουσα. Lh

book 1182a ἐλαύνωμεν] κωπηλατῶμεν. Γ2

book 1182b ἐλατῆρος] πέμματος εἶδος. τινὲς δὲ ἄζυμα, Εὐριπίδης δὲ πεπτά. Lh

book 1182c παίζει τὸ “ἐλατῆρος” εἰπὼν διὰ τὴν περὶ τὰ ναυτικὰ τῶν Ἀθηναίων ἐμπειρίαν. ἐλατῆρες γὰρ καὶ οἱ τὰς κώπας ἐλαύνοντες, καὶ ἐλατὴρ εἶδος πέμματος. Lh

book 1185a (I) ἐντερόνειαν: τὰ ἐγκοίλια, τὰ ἀπὸ τῆς τρόπιδος ἀνερχόμενα ξύλα, ἐντερόνεια καλεῖται. VΕΓΘΜ (II) ἄλλως: οἱ μὲν τὸ τῶν νεῶν ἔδαφος. οἱ δὲ τὰ ἐγκοίλια. βέλτιον δὲ τὴν τῶν ἐγκοιλίων ὕλην λέγειν. ταῦτα δὲ Ἡρωδιανὸς ἐν τῇ καθόλου προπαροξύνει. “καὶ ἡ ἐντερόνεια δὲ τούτῳ τῷ λόγῳ ὤφειλε συστέλλειν τὸ α καὶ προπαροξύνειν. οὕτω γὰρ τὴν ἐντεριώνην Ἀριστοφάνης ἐν τοῖς Ἱππεῦσιν εἶπεν, ὅπερ ἐστὶ τὸ μεσαίτατον τῆς νεώς, ὅ ἐστι συνεκτικώτατον, ἥτις ἐστὶ τρόπις, ὑπὸ δὲ τῶν ἄλλων μήτρα καλεῖται. φησὶ δὲ ὁ κωμικὸς εἰς τὰς τριήρεις ἐντερόνειαν ἡ θεός εἰ μὴ ἄρα ποιητική ἐστιν ἡ ἔκτασις.” VΓΘΜ

book 1185b τὰ ἐγκοίλια τῆς νεὼς ξύλα τὰ εἰς τὴν τρόπιν προσηλωμένα “ἐντερόνεια” καλεῖται. νῦν δὲ ὅλην τὴν τρόπιν ἐντερόνειαν καλεῖ, ἥτις ὑπὸ τῶν ἑτέρων μήτρα καλεῖται. ἔστι δὲ τὸ μεσαίτατον τῆς νεώς. Lh

book 1187a

τρία καὶ δύο: τρία μέρη ὕδατος ἐπιδεχόμενον, οἴνου δὲ δύο. ἀρίστη δὲ κρᾶσις οἴνου δύο μέρη καὶ ὕδατος τρία. VEΓΘMLh

book 1187b ἔχε] λάμβανε. Γ2

book 1187c κεκραμένον] οἶνον. EΓ2

book 1188a ὡς] λίαν. Γ2

book 1188b ἡδύς] ὁ οἶνος. Γ2Lh

book 1188c κεκραμένον τρία καὶ δύο (1187): τὰ τοῦ ὕδατος μέρη. VΓ2M

book 1188d τὰ τρία] μέρη. Lh

book 1189a ἡ Τριτογενὴς γὰρ αὐτὸν ἐνετριτώνισεν: εὐκαίρως τῷ ἐπιθέτῳ ἐχρήσατο, ἵνα παίξῃ παρὰ τὰ τρία καὶ δύο. βούλεται δὲ δηλοῦν ὅτι καὶ ἡ Ἀθηνᾶ τοιοῦτον αὐτὸν ἐποίησεν, ὡς δύνασθαι τρία μέρη φέρειν ὕδατος. ἢ ὡς ἀπὸ τῶν τριῶν κραμάτων. ἢ ὡς ἀπὸ Τρίτωνος, ποταμοῦ Λιβύης, παρ’ ᾧ ἐτέχθη ἡ Ἀθηνᾶ. VEΓΘMLh

book 1189b ἡ Τριτογενὴς] ἤγουν ἡ Ἀθηνᾶ, ἡ γεννηθεῖσα ἐκ τῆς Τριτῶ, ἤγουν ἐκ τοῦ κεφαλαίου. Γ2

book 1189c ἐνετριτώνισεν] τρία μέτρα φέρειν ὕδατος ἐποίησε. Lh

book 1190a νυν] δή. Lh

book 1190b τόμον] τέμαχος. Lh

book 1192 λαγῷα] λείπει τὰ κρέα. VEΓ2Lh

book 1194a θυμέ] ψυχή. Γ2

book 1194b βωμολόχον] πανοῦργον, λῃστρικόν. VEΓ2Lh

book 1194c ἔξευρέ τι] μηχανήν τινα εὗρε. Γ2

book 1195 ὁρᾷς τάδε: τὰ λαγῷα δείκνυσιν αὐτῷ καὶ χλευάζει ὡς οὐκ ἔχοντα. VEΓΘMLh

book 1196 τίνες: οἱ μὲν τὸ αὐτὸ πρόσωπον, ἵν’ ᾖ “τινές”· οἱ δὲ τοῦ Κλέωνος, ἵν’ ᾖ ἐρωτηματικῶς. VEΓΘ

book 1198 ἐάσεις] λείπει “ἐπιφοιτῆσαι”. VEΓ2Lh

book 1199a (I) τὰ λαγῷ’ ἅ σοι φέρω: ὁ Ἀγοράκριτος μεθόδῳ χρῆται πρὸς Κλέωνα, καὶ ἁρπάζων τὰ τοῦ Κλέωνος λαγῷα δίδωσι τῷ Δήμῳ. VEΓΓ2ΘM (II) ἄλλως: ἀπατήσας Ἀγοράκριτος τὸν Κλέωνα τὰ τούτου λαγῷα προσήνεγκε τῷ Δήμῳ. M

book 1199b totus versus] ἀπατήσας τὰ Κλέωνος ἤγαγε τῷ Δήμῳ. VE

book 1199c ὁ Ἀγοράκριτος μεθόδῳ ἐχρήσατο πρὸς τὸν Κλέωνα, ἵνα αὐτοῦ ἀτενίσαντος ἑτέρωθι εὐχερῶς αὐτὸς ὑφαρπάσῃ τὰ λαγῷα κρέα, ἃ καὶ λαβὼν δίδωσι τῷ Δήμῳ. διὸ “ἀδίκως” φησὶν “ἥρπασας τἀμά.” Lh

book 1199d totus versus] ἀπατήσας τὸν Κλέωνα κρέα ἤνεγκε τῷ Δήμῳ ὁ Ἀγοράκριτος ὑφελὼν αὐτά. Lh

book 1201 καὶ σὺ γὰρ τοὺς ἐκ Πύλου: ἥρπασας δηλονότι, ἀπὸ Δημοσθένους τοῦ στρατηγοῦ. VEΓΘMLh

book 1202 εἴπ’] εἰπέ. Lh

book 1203a τὸ μὲν νόημα τῆς θεοῦ: τοῦτο πρὸς τὴν ἀλαζονείαν τῶν δημαγωγῶν. εἰώθασι γὰρ λέγειν ὅτι ἡ μὲν θεὸς ὑπέβαλέ μοι, ἔπραξα δὲ ἐγώ. οὕτω γὰρ οἱ δημαγωγοὶ ἀστεϊζόμενοι ἔλεγον τὰς ἑαυτῶν ἐπινοίας τῆς θεοῦ. VEΓΘM

book 1203b οὕτως οἱ δημαγωγοὶ ἔλεγον ὑπ’ ἀλαζονείας ἀστεϊζόμενοι δῆθεν, “ἡ μὲν θεὸς ὑπέβαλέ μοι, ἐγὼ δὲ ἥρπασα”, τὰς ἑαυτῶν πονηρὰς ἐπινοίας τῇ θεῷ προσάπτοντες. Lh

book 1205a οὐ γὰρ ἀλλὰ] ἀντὶ τοῦ καὶ γάρ. VEΓ3

book 1205b τοῦ παραθέντος] τὴν τροφήν. Lh

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1206 ὑπεραναιδεσθήσομαι: ἀντὶ τοῦ τῇ ἀναιδείᾳ νικηθήσομαι, οἷον ἀναιδέστερός μου φανήσεται. VΕΓΘΜLh

book 1207 νῷϊν] συνίζησις. Lh

book 1210 δόξαιμι] νομισθείην. VΕΓ2

book 1211a τὴν ἐμὴν κίστην: τὴν κιβωτόν· ταύτῃ δὲ διενήνοχεν, ὅτι ἡ μὲν εἰς ὑποδοχήν ἐστιν ἐδεσμάτων, ἡ δὲ ἱματίων καὶ χρυσοῦ, ἡ κιβωτός. VΕΓΘΜ

book 1211b διενήνοχε κίστη καὶ κιβωτός. καὶ ὅτι ἡ μὲν εἰς ὑποδοχήν ἐστιν ἐδεσμάτων, ἡ δὲ ἱματίων καὶ χρυσοῦ, ἡ κιβωτός. καὶ ἡ μὲν εἴη ἂν ἀπὸ τοῦ κεῖσθαι ἐν αὐτῇ σιτία, ἡ δὲ ἀπὸ τοῦ κεῖσθαι ἐν αὐτῇ βίον, ἤγουν χρήματα, ἐξ ὧν τὰ πρὸς ζωὴν ποριζόμεθα. Lh

book 1211c τὴν κίστην] τὴν κιβωτόν. Lh

book 1212a βασάνισον] ἀντὶ τοῦ γίγνωσκε. VΕΓ3

book 1212b βασάνισον] διάκρινον. Lh

book 1213 κἀμέλει] μὴ φρόντιζε. Lh

book 1215 totus versus] διχῶς· “ἅπαντα γάρ σοι πατρίδιον παρεφόρουν”. VΕΓ2

book 1216 τὰ τοῦ δήμου φρονεῖ: ἀντὶ τοῦ οὐ δωροδοκεῖται. τὴν τοῦ ἀλλαντοπώλου δέ φησιν, ὅτι πάντα τῷ Δήμῳ παρέθηκεν. VΕΓΘΜLh

book 1219 totus versus] ἀντὶ τοῦ πάνυ πολὺ τὸ χρῆμα τοῦ πλακοῦντος ἀπέθετο. VΕΓ3

book 1220a τυννουτονί: συλλαβὼν τοὺς δακτύλους φησί. Φαεινὸς δὲ ἀντὶ τοῦ μικρόν. V(bis) ΕΓΓ3ΘΜLh

book 1220b τυννουτονί] κόμμα. Γ2

book 1225a ἐγὼ δέ τυ: τὸ “τύ” Δωρικῶς ἀντὶ τοῦ σέ. ἔπαιξε δὲ παρὰ τὸ δωροδοκεῖν, Δωριστὶ εἰρηκώς. τὸ δὲ “ἐστεφάνιξα” ἀντὶ τοῦ ἔστεψα, στεφάνοις ἐτίμησα. δημοσίᾳ γὰρ ἐτιμήθη ὁ Κλέων στεφάνῳ. μιμεῖται δὲ τοὺς εἵλωτας, ὅταν στεφανῶσι τὸν Ποσειδῶνα. VΕΓΘΜLh

book 1225b ἐστεφάνιξα] στεφάνοις ἐτίμησα. Lh

book 1228 περιθῶ] περιβάλλω. Γ2

book 1233 εἴ τι ξυνοίσεις: εἰ συμφωνήσεις καὶ μεθέξεις. ΕΓΓ2ΘLh

book 1236a (I) εὔστραις: ἀντὶ τοῦ φλογίστραις, ὅπου τὰ ἱερεῖα θύεται. λέγει δὲ ὡς μάγειρος. VΕΓΘΜ (II) ἄλλως: ἐν τοῖς μαγειρείοις. εὔστρα γὰρ τὸ μαδιστήριον, ἀπὸ τοῦ εὕειν καὶ φλογίζειν τοὺς χοίρους. τὸ δὲ “ἡρμοττόμην” ὡς πρὸς μουσικὴν ἀντὶ τοῦ ἐπαιδευόμην. ὁ δὲ στίχος ἐκ Τηλέφου Εὐριπίδου. VΕΓΘΜ (III) ἄλλως: εὔστρα ἡ ὡρίμη κριθή. εἴρηται δὲ καὶ ἀμφίκαυστις παρὰ κωμικοῖς καὶ τραγικοῖς ἀπὸ τοῦ περικεκαῦσθαι. οἱ δὲ τὴν πρώτην ἔκφυσιν τῶν πυρῶν, ἣν λήϊον προσαγορεύουσιν ὡραῖον, διὰ τὸ τοὺς πρωΐμους καέντων τῶν ἀχύρων ἐπιτηδείους εἶναι εἰς τροφήν. VΕΓ3

book 1236b κονδύλοις] ὑπὸ κονδύλων. Γ2

book 1236c εὔστρα ἡ φλογίστρα ὅπου τὰ ἱερεῖα θύεται. λέγει δὲ ὡς μάγειρος. ἢ εὔστραν λέγει τὸ μαδιστήριον, ἀπὸ τοῦ εὕειν καὶ φλογίζειν τοὺς χοίρους. τὸ δὲ “ἡρμοττόμην” ὡς πρὸς μουσικήν, ἀντὶ τοῦ ἐπαιδευόμην. Lh

book 1236d εὔστραις] φλογίστραι ὅπου τὰ ἱερεῖα θύεται. Lh

book 1236e ἡρμοττόμην] ἐπαιδευόμην. Lh

book 1238a εἶεν] ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον. Lh

book 1238b ἐν] ἐν τῷ οἴκῳ. Γ2

book 1239 ἐπιορκεῖν] λείπει τὸ ἐμάνθανον. VΕΓ2Lh

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1240a totus versus] ὁ στίχος ἐκ Τηλέφου Εὐριπίδου. VEΓ2Θ

book 1240b ἐργάσῃ] μέλλεις ἐργάσασθαι. Γ2

book 1241a ἐξανδρούμενος: τὴν ἡλικίαν ἔχων εἰς ἄνδρα. VEΓΘM

book 1241b ἐξανδρούμενος] ἀνὴρ ὤν, εἰς ἄνδρας τελῶν. Γ2

book 1241c ἐξανδρούμενος] εἰς ἀνδρῶν ἡλικίαν ἐλθών. Lh

book 1242a ἠλλαντοπώλουν] ἀλλᾶντας ἐπώλουν. Γ2

book 1242b βινεσκόμην] ἐσυνουσιαζόμην. Γ2

book 1244 ὀχούμεθα] φερόμεθα. Γ2

book 1247a οὗ τὸ τάριχος ὤνιον: εὔωνον. ὅπου τὸ ταριχοπωλεῖον, ἀντὶ τοῦ ὅπου τὰ εὐτελῆ πωλεῖται. VEΓΘM

book 1247b οὗ] ὅπου. Γ2

book 1247c τάριχος] παστόν. Γ2

book 1247d ὤνιον] εὔωνον. ΓLh

book 1247e οὗ τὸ τάριχος ὤνιον] ἤγουν ὅπου καὶ τὰ εὐτελῆ πωλεῖται. Lh

book 1248a totus versus] τοῦ Σοφοκλέους. Γ2

book 1248b πέπρακται] ἐπράχθη. Γ2

book 1249a κυλίνδετ’ εἴσω: ἑαυτὸν λέγει ὁ Κλέων. ταῦτα δὲ ἐκ Βελλεροφόντου Εὐριπίδου. τὸ δὲ “κυλίνδετ’” ἀντὶ τοῦ κομίζετε. VEΓΘMLh

book 1249b κυλίνδετ’] ἄγετε, κομίζετε. Γ2

book 1249c τόνδε τὸν δυσδαίμονα] ἤγουν ἐμέ. Γ2

book 1251a σὲ δ’ ἄλλος τις: λείπει “ἀνήρ”. παρῴδησε δὲ ἐξ Ἀλκήστιδος Εὐριπίδου· ἔχει δὲ οὕτως· “σὲ δ’ ἄλλη τις γυνὴ κεκτήσεται, σώφρων μὲν οὐκ ἂν μᾶλλον, εὐτυχὴς δ’ ἴσως”. VEΓ2M

book 1251b λείπω] ἀφίημι. Γ2

book 1253a Ἑλλάνιε Ζεῦ: Ἑλλάνιος Ζεὺς ἀπὸ τοῦ αὐχμοῦ ποτε γενομένου, ὅτε ὁ Αἰακὸς συναγαγὼν τοὺς Πανέλληνας ἐξιλεώσατο τὸν Δία. τοῦτο δὲ λέγει ὁ ἀλλαντοπώλης, εἰληφὼς τὸν στέφανον. Ἑλλάνιος δὲ Ζεὺς τιμᾶται ἐν Αἰγίνῃ. VEΓΘM

book 1253b Ἑλλάνιος Ζεὺς τιμᾶται ἐν Αἰγίνῃ. αὐχμοῦ γάρ ποτε ἐν Ἑλλάδι γενομένου Αἰακὸς συναγαγὼν τοὺς Πανέλληνας ἐξιλεώσατο τὸν Δία καὶ ὑετὸν ἀπέστειλε. τιμᾶται οὖν ἔκτοτε Ζεὺς Ἑλλάνιος. Lh

book 1254 ὦ χαῖρε καλλίνικε] τοῦτο λέγει ὁ χορὸς πρὸς τὸν ἀλλαντοπώλην. ELh

book 1256a Φανός: Σύμμαχος· φαίνεταί τις γραμματεὺς οὗτος· τῶν πάνυ σπανίων ὄνομα κύριον. κωμῳδεῖ δὲ αὐτὸν ὡς φιλόδικον. Φαεινὸς δέ· φανὸς ὁ καταγγέλλων καὶ φανεροποιῶν τὰ πράγματα καὶ μηνύων, ⟦ἢ⟧ ἀπὸ τοῦ φαίνειν, ὅ ἐστι συκοφαντεῖν. Φανὸς γὰρ κακοπράγμων ἐγένετο φιλόδικος γραμματεύς. ἐπὶ δήμου δὲ ὑπογραφεὺς ἐλέγετο, ὁ δὲ τοῦ βουλευτηρίου ἀντιγραφεύς. δημοσίου δὲ γενομένου 〈ἐγκλήματοσ〉 ἔγραφον ἀμφότεροι τὰ λεγόμενα. VEΓΘM

book 1256b Φανὸς] οὗτος κακοπράγμων καὶ φιλόδικος γραμματεύς. Lh

book 1256c ὁ μὲν τοῦ δήμου γραμματεὺς ὑπογραφεὺς ἐλέγετο, ὁ δὲ τοῦ βουλευτηρίου ἀντιγραφεύς. τὰ γὰρ ἐν τούτοις λεγόμενα ἔγραφον ἀμφότεροι. Φαεινὸς οὖν τὸν Φανὸν ἀπὸ τοῦ φαίνειν καὶ φανερὰ ποιεῖν τὰ πράγματα λέγει. ἢ ἀπὸ τοῦ φαίνειν, ὅ ἐστι συκοφαντεῖν. κακοπράγμων γὰρ ἦν καὶ φιλόδικος. Lh

book 1258a

ἐν τἀγορᾷ] ἐτυμολογεῖ τὸ ὄνομα. ΕΓ2

book 1258b ἐν τἀγορᾷ] δημηγορίᾳ. Γ2

book 1258c ἐβοσκόμην] διῆγον, ἐτρεφόμην. Lh

book 1259 ἐπιτρέπω] ἐκδίδωμι. Γ2Lh

book 1260a παραδίδωμι] ἤγουν σοί, τῷ Ἀγορακρίτῳ. Γ2

book 1260b τὸν Παφλαγόνα] τὸν Κλέωνα. Lh

book 1260c παραδίδωμι] αὐτῷ. Lh

book 1262 ὁμολογεῖν σε] συγκατατίθεσθαι καὶ σέ. Γ2

book 1263a τῇ Κεχηναίων πόλει: Ἀθηναίων, ὡς ληρούντων αὐτῶν. ἔπαιξε παρὰ τὸ "Ἀθηναίων". ἀπὸ δὲ τοῦ κεχηνέναι ἔλαβε τὸ ὄνομα, ὡς μετέωρα τῶν Ἀθηναίων φρονούντων. VΕΓΘΜ

book 1263b Κεχηναίων] ἤγουν τῶν Ἀθηναίων. Γ2

book 1263c Κεχηναίων] ἔπαιξεν ἀπὸ τοῦ κεχηνέναι αὐτοὺς τοῖς κόλαξι. προείρηκε γὰρ πρότερον "τὸν λέγοντα κέχηνας". Lh

book 1264a (ad vv. 1264—1315) κορωνὶς δέ, ἐξιᾶσι γὰρ οἱ ὑποκριταί, καὶ ἔστι συζυγία ἐπιρρηματική, ἧς αἱ μὲν μελικαὶ περίοδοι δεκάκωλοί εἰσι, καὶ αὐτῶν τὸ μὲν πρῶτον ἰαμβικὸν ἑφθημιμερές, τὸ δὲ δεύτερον δακτυλικὸν τρίπουν εἰς δισυλλαβίαν, .... τὸ δὲ τέταρτον τροχαϊκὸν ἑφθημιμερές. τὸ πέμπτον ἐκ τροχαϊκῆς βάσεως καὶ δακτυλικοῦ πενθημιμεροῦς. τὸ ἕκτον ἰαμβικὸν δίμετρον. τὸ ἕβδομον ὁμοίως τῷ πέμπτῳ. τὸ ὀγδόον προσοδιακὸν δωδεκάσημον διαφόρως προσέλαβεν. τὸ ἔνατον ἀναπαιστικόν. τὸ δέκατον ἰαμβικὸν τρίμετρον καταληκτικόν. VΕΓΘ

book 1264b τί κάλλιον ἀρχομένοισι: τοῦτο ἀρχὴ προσοδίου Πινδάρου. ἔχει δὲ οὕτως "τί κάλλιον ἀρχομένοισιν ἢ καταπαυομένοισιν, ἢ βαθύζωνόν τε Λατὼ καὶ θοᾶν ἵππων ἐλάτειραν ἀεῖσαι"; VΕΓΘΜLh

book 1264c ἀρχομένοισι] λέγειν δηλονότι. Γ2

book 1264d totus versus] ὑπόστασις τὸ σχῆμα. Μ

book 1265 καταπαυομένοισιν] τέλος λαμβάνουσιν. Γ2

book 1266a θοᾶν] Δωρικόν· καὶ θοῶν. Γ2

book 1266b ἐλατῆρας] ἤγουν τοὺς ἐλαύνοντας τοὺς ἵππους. Γ2

book 1266c ἀείδειν] εὐφημεῖν, ὑμνεῖν. Γ2

book 1267 Λυσίστρατον] κωμῳδεῖται ὡς κόλαξ οὗτος. ΕLh

book 1268a μηδὲ Θούμαντιν: οὗτοι πένητες διεβάλλοντο. δεῖ οὖν, φησί, τοὺς μὲν ἱππέας ἐπαινεῖν, ἐκείνους δὲ τοὺς πένητας μὴ διαβάλλειν. VΕΓΘΜLh

book 1267-8 Λυσίστρατον] οὗτος ὡς κόλαξ κωμῳδεῖται καὶ ὡς πένης· καὶ ὁ Θούμαντις. δεῖ οὖν, φησί, τοὺς ἱππέας ἐπαινεῖν, ἐκείνους δὲ τοὺς πένητας μὴ διαβάλλειν. Γ2

book 1268b μηδὲ] ποιεῖν ἐστι κακὸν δηλονότι. Γ2

book 1268c Θούμαντιν] πένης οὗτος καὶ μάντις. Ε

book 1268d Θούμαντιν] ἐς τόν. Γ2

book 1268e ἀνέστιον] ἄοικον. ΕΓ2

book 1268f αὖ] πάλιν. Γ2

book 1268g λυπεῖν] θλίψιν ποιεῖν. Γ2

book 1269 ἑκούσῃ] βουλομένῃ. Γ2

book 1271a θαλεροῖς δακρύοις: ἀντὶ τοῦ ἀεὶ μετὰ δακρύων ἱκετεύει σε τῆς πενίας ἕνεκεν, ἀπαλλαγῆναι ταύτης ἀξιῶν. ἱκετεύει δὲ ἁπτόμενος τῆς σῆς φαρέτρας διὰ τὸ κακῶς πένεσθαι. VEΓΘMLh

book 1271b θαλεροῖς] σὺν πολλοῖς. Γ2

book 1271c πεινῇ] πεινᾷ. Lh

book 1271d θαλεροῖς] διύγροις. Lh

book 1272 φαρέτρας] βελοθήκης. Lh

book 1273a δίᾳ] ἤγουν τῷ ἐνδίῳ. Γ2

book 1273b Πυθῶνι] ἐν Πυθῶνι. Lh

book 1274a λοιδορῆσαι: τῆς παραβάσεώς ἐστι μέρος. κωμῳδεῖ δὲ καὶ καθάπτεται Ἀριφράδους ὡς ἀσελγαίνοντος καὶ ἀσχημονοῦντος αἰσχρῶς, καὶ παρὰ φύσιν προσιόντος ταῖς γυναιξί. τὸ δὲ τοὺς πονηροὺς λοιδορεῖσθαι τιμὴ γίγνεται τοῖς ἀγαθοῖς. VEΓΘM

book 1274b οὐδὲν] οὐδαμῶς. Γ2

book 1274c ἐπίφθονον] βαρύ. Γ2

book 1274d παράβασις· ἐστὶ ὁ χορός. M

book 1274e λοιδορῆσαι] σκῶψαι. Lh

book 1274f οὐδέν ἐστ' ἐπίφθονον] ἤγουν οὐ δόξειεν ἀπὸ φθόνου γίνεσθαι. Lh

book 1275 εὖ λογίζεται] ὀρθῶς σκοπεῖ τὰ πράγματα. Lh

book 1276 ὃν δεῖ πόλλ' ἀκοῦσαι: οἷον ὃν δεῖ λοιδορηθῆναι. λέγει δὲ τὸν Ἀριφράδην. VEΓ2

book 1277a (I) οὗτος ἦν ἔνδηλος: ὃν θέλω λέγειν ὑμῖν οὐκ ἔστιν ἐπίσημος· τούτου χάριν δι' ἑτέρου τοὺς τρόπους δηλῶσαι θέλω. τοῦτο δὲ λέγει, ὡς τοῦ Ἀριγνώτου μὲν γιγνωσκομένου, Ἀριφράδους δὲ ἀσήμου ὄντος ⟦ἀπὸ δὲ τούτου γιγνωσκομένου⟧ VEΓΘM (II) ἄλλως: τὸν Ἀριφράδην λέγει. Ἀριφράδους δὲ δύο παῖδες, Ἀρίγνωτος καὶ Ἀριφράδης ὁμώνυμος τῷ πατρί. VEΓΘM

book 1277b ἐμνήσθην] ἐμεμνήμην. EΓ2M

book 1278a Ἀρίγνωτον γὰρ: ἀντὶ τοῦ ἔστι γὰρ δῆλος, καὶ οὐκ ἔστιν ὅστις οὐκ οἶδεν αὐτόν. οὗτος οὖν ὁ Ἀρίγνωτος διεβάλλετο καὶ ὡς ἀρρητοποιός. Ἀρίγνωτος δὲ οὗτος κιθαρῳδὸς ἦν. διόπερ καὶ τὸν ὄρθιον νόμον ἔφη αὐτὸν εἰδέναι. δοκεῖ δὲ καὶ παροιμιώδης εἶναι ὁ λόγος, ὅστις οἶδε τὸ λευκὸν καὶ τὸ μέλαν· παρὰ τοῦτο οὖν ἐποίησεν. εἰρωνεύεται δὲ πρὸς αὐτόν, ὅτι οὐκ ἂν αὐτοῦ ἐμνήσθην χρηστοῦ ὄντος, εἰ μὴ εἶχε πονηρὸν ἀδελφόν. ὁ γὰρ Ἀρίγνωτος ὕστατος ἦν. VEΓΘM

book 1278b Ἀρίγνωτον] ἀπὸ τοῦ ἀρι, ἀντὶ τοῦ ἄγαν, καὶ τοῦ γνωστόν. Γ2

book 1278c totus versus] ὡς τοῦ Ἀριγνώτου μὲν γινωσκομένου, Ἀριφράδου δὲ ἀσήμου ὄντος, ἀπὸ δὲ τούτου γινωσκομένου. Lh

book 1278d οὗτος ὁ Ἀρίγνωτος διεβάλλετο ὡς ἀρρητοποιός. δοκεῖ ὁ λόγος παροιμιώδης ἐπὶ τῶν ἄγαν φανερῶν, ὅστις οἶδε τὸ λευκὸν καὶ τὸ μέλαν. παρὰ τοῦτο οὖν ἐποίησεν. εἰρωνεύεται δὲ πρὸς αὐτὸν ὅτι οὐκ ἂν αὐτοῦ ἐμνήσθη χρηστοῦ ὄντος εἰ μὴ εἶχε πονηρὸν ἀδελφόν. Lh

book 1279a (I) ὅστις ἢ τὸ λευκόν: Ἀρίσταρχος· παρὰ τὸ λεγόμενον, εἴ τις οἶδε τὸ λευκὸν ἢ τὸ μέλαν. οἱ δὲ λέγουσιν Ἀρίγνωτον κιθαρῳδόν, ὃς ᾖδε τὸν ὄρθιον καλούμενον νόμον καὶ τὸν λευκόν, οἵτινες ἐθαυμάζοντο τῷ τότε χρόνῳ. VEΓΘ (II) ἄλλως: παροιμία ἐστίν, ἐπὶ τῶν πάνυ φανερῶν. ὃ οὖν θέλει εἰπεῖν, τοιοῦτόν ἐστιν· οὐδείς ἐστιν ὅστις 〈οὐκ〉 οἶδε τὸ λευκὸν ἢ τὸ μέλαν, ὁ μὴ ἐπιστάμενος. VEΓΘ

book 1279b ὅστις τὸ λευκὸν οἶδεν] παροιμία ἐπὶ τῶν ἄγαν γιγνωσκόντων τὸ πρᾶγμα. Γ2

book 1279c ὄρθιον νόμον] ἐπεὶ κιθαρῳδὸς ἦν ὁ κωμῳδούμενος. E

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1279d ὄρθιον νόμον] εἶδος μέλους. μουσικὸς γὰρ ἦν. Γ2

book 1279e ὄρθιον νόμον] ὁ Ἀρίγνωτος οὗτος κιθαρῳδὸς ἦν, δι’ ὅπερ καὶ τὸν ὄρθιον νόμον ἔφη αὐτὸν εἰδέναι. Lh

book 1280a τοὺς τρόπους] εἰς. Γ2

book 1280b τοὺς τρόπους] κατά. Γ3

book 1280c αὐτῷ] τῷ Ἀριγνώτῳ. Lh

book 1280d οὐ συγγενής] οὐκ ἀδελφός, οὐχ ὅμοιος. Lh

book 1281a τοῦτο] τὸ εἶναι πονηρός. ΕΓ2Lh

book 1281b βούλεται] ἐφίεται. Γ2

book 1281c πονηρὸς] τὸν Ἀριφράδην κωμῳδεῖ ὡς ἀσελγαίνοντα καὶ ἀσχημονοῦντα αἰσχρῶς καὶ παρὰ φύσιν προσιόντα ταῖς γυναιξίν. Lh

book 1283 προσεξηύρηκε] ἤγουν πρὸς τῇ πονηρίᾳ. Γ2

book 1284 λυμαίνεται] βλάπτει. Γ2

book 1285a ἐν κασαυρίοισι: διχῶς, ἐν κασαλβίοισι. ἀντὶ τοῦ ἐν πορνείοις. VΕΓΘΜLh

book 1285b τὴν ἀπόπτυστον δρόσον: τὴν τῶν αἰδοίων φησί, τουτέστι τὸ σπέρμα. VΕΓΘΜLh

book 1285c τὴν ἀπόπτυστον δρόσον] τὸ σπέρμα τῶν αἰδοίων. Μ

book 1286a ἐσχάρας: τὰ χείλη τῶν γυναικείων αἰδοίων. VΕΓ2Μ

book 1286b μολύνων γέρων γὰρ ἦν. Lh

book 1286c τὰς ἐσχάρας] τὰς θυσίας. Lh

book 1287a Πολυμνήστεια: μέλη Πολυμνήστου Κολοφωνίου· κιθαρῳδὸς δὲ ἦν οὗτος· Κρατῖνος “καὶ Πολυμνήστει’ ἀείδει, μουσικήν τε μανθάνει”. κωμῳδεῖται δὲ καὶ οὗτος ἐν τοῖς αὐτοῖς. Πολύμνηστος δὲ καὶ Οἰώνιχος ὅμοιοι ἀρρητοποιοί. VΕΓΘΜ

book 1287b Πολυμνήστειά φησι μέλη τὰ τοῦ Πολυμνήστου τοῦ Κολοφωνίου. κιθαρῳδὸς δὲ ἦν οὗτος. κωμῳδεῖται δὲ καὶ οὗτος ἐν τοῖς αὐτοῖς. Πολύμνηστος δὲ καὶ ὁ Οἰώνιχος ὅμοιοι ἀρρητοποιοί. Lh

book 1288 βδελύττεται] ἀποστρέφεται, μισεῖ. Γ2

book 1289 ἐκ ταὐτοῦ: ὅτι αἰσχρὸν τὸ τούτων ποτήριον, διὰ τὸ λείχειν αὐτοὺς τὰ γυναικεῖα αἰδοῖα. VΕΓΘΜLh

book 1290a ἦ πολλάκις ἐννυχίαισι] Εὐριπίδειος ἡ παρῳδία, ἐξ Ἱππολύτου. VΕΜLh

book 1290b ἦ πολλάκις ἐννυχίαισι] ἐξ Ἱππολύτου Εὐριπίδου. Γ2

book 1290c ἦ] ὄντως, νὴ Δία. Γ2

book 1290d ἐννυχίαισι] νυκτερίναις, ἤγουν κατὰ τὸν καιρὸν τῆς νυκτός. Γ2

book 1291 φροντίσι συγγεγένημαι: ἐκ τοῦ “ὅστις οὖν τοιοῦτον ἄνδρα” φασί τινες Εὐπόλιδος εἶναι τὴν παράβασιν, εἴ γέ φησιν Εὔπολις “ξυνεποίησα τῷ φαλακρῷ”. VΕΓ3

book 1292a φαύλως] ὡς ἔτυχεν. VΕΓ2Lh

book 1292b φαύλως] εὐχερῶς. Γ2

book 1292c ὁπόθεν ποτε] κατὰ τίνα δήποτε τρόπον. Γ2

book 1293 ἐσθίει Κλεώνυμος: τοῦτον ὡς δαπανηρὸν καὶ πολλάκις ἐσθίοντα διασύρει, ἅμα δὲ καὶ δειλόν. VΕΓ3Μ

book 1294a ἐρεπτόμενον] ἐμφαντικῶς ὡς ἐπὶ κτήνους. VΕLh

book 1294b ἐρεπτόμενον] ὡς ἐπὶ κτήνους· ἐσθίοντα. Γ2

book 1296a οὐκ ἂν] οὐδαμῶς· καὶ οὐκ ἔστι δυνατόν. Γ2

book 1296b τῆς σιπύης] τῆς ἀρτοθήκης. VEΓ2Lh

book 1297a totus versus] ὡς φοβουμένων τῶν ἐξωθούντων αὐτόν. Γ2

book 1297b ἀντιβολεῖν] φασί. Γ2

book 1297c ὅμως] ἤγουν παρ' ὃ χρή. Γ2

book 1298 ἴθ' ὦ ἄνα: πορεύθητι· ὡς καὶ τὸ γειτνιᾶν αὐτῷ φοβουμένων τῶν ἐξωθούντων αὐτόν. VEΓ3MLh

book 1299 < Lh

book 1300 totus versus] σωματοποιεῖ τὰς τριήρεις. EΓ2MLh

book 1301 λέξαι] φασί. Γ2

book 1302a οὐδὲ πυνθάνεσθε: οὐδὲ αἴσθεσθε. τὰς μηδέπω δὲ πλευσάσας παρθένους εἴρηκε, τὰς δὲ πλευσάσας γραίας. VEG3ΘMLh

book 1302b ὦ παρθένοι] τὰς οὔπω δὲ πλευσάσας παρθένους εἴρηκε. Γ2

book 1302c totus versus] ὁ στίχος παρὰ τὰ ἐξ Ἀλκμαίωνος Εὐριπίδου. VEΘMLh

book 1302d πυνθάνεσθε] ἀκούετε. Γ2

book 1302e πυνθάνεσθε] ἠκούσατε, ᾐσθάνθητε. Lh

book 1303a ἐς Καρχηδόνα: πόλις Θρᾴκης, παρὰ τὸ Βυζάντιον. VEΓ2MLh

book 1303b εἰς Καρχηδόνα] ἀπελθεῖν δηλονότι. Γ2

book 1303c ἡμῶν] ἀφ'. Γ2

book 1304a ὀξίνην Ὑπέρβολον: ὀξίδες ἃ καλοῦμεν ὀξυβάφια, λυχνοποιὸς δὲ ὁ Ὑπέρβολος. τινὲς δὲ τὰ κεράμεα, ἅ ἐστιν ὄξους δεκτικά, κεραμεὺς δὲ ὁ Ὑπέρβολος. μετὰ δὲ τὴν ἀποβολὴν τοῦ Κλέωνος εὐθέως ὑπερεβάλλετο ὑπὸ τοῦ Ὑπερβόλου· μετ' αὐτὸν γὰρ ἐπολιτεύσατο. VEΓΘM

book 1304b ἐν Νεφέλαις μὲν λυχνοποιὸν τὸν Ὑπέρβολον λέγει, ἐνταῦθα δὲ ὡς κεραμέα κωμῳδεῖ ὀξίδας ποιοῦντα. ὀξὶς γὰρ τὸ ὀξύβαφον ἀγγεῖον, ἤγουν τὸ ὄξους δεκτικόν. Lh

book 1304c ὀξίνην] τὰς ὀξίδας ποιοῦντα· κεραμεὺς γὰρ ἦν. Lh

book 1304d Ὑπέρβολον] μετὰ Κλέωνα Ὑπέρβολος ἐπολιτεύσατο. Lh

book 1305 δόξαι] ὑπολαβεῖν. Γ2

book 1306a ἥτις ἀνδρῶν ἆσσον οὐκ ἐληλύθει: ἥτις ἦν οὔπω δεδομένη τριηράρχῳ, μηδὲ πλεύσασα, ἀλλὰ νεωστὶ κατασκευασθεῖσα, ἣν ἄνω εἶπε παρθένον. VEΓΘM

book 1306b εἰπεῖν] φασί. Γ2

book 1306c ἆσσον] πλησίον. Γ2

book 1306d ἀνδρῶν ἆσσον οὐκ ἐληλύθει] οὐκ ἐδόθη τριηράρχῳ ἀνδρί, ἀλλ' ἦν ἔτι παρθένος. Lh

book 1307a ἀποτρόπαι'] λείπει "ὦ Ζεῦ". VEΓ2Θ

book 1307b ἐάν με χρῇ] λείπει τὸ "ἀποδοθῆναι αὐτῷ". VEΓ2Θ

book 1307c ἀποτρόπαι'] λείπει τὸ "Ζεῦ" ἢ "Ἄπολλον". Lh

book 1307d ἐάν με χρῇ] λείπει "δοθῆναι". Lh

book 1308 ὑπὸ τερηδόνων: σηπεδόνων ἢ σκωλήκων. VEΓΓ2ΘMLh

book 1309a Ναυφάντης γε τῆς Ναύσωνος: πεποίηται ταῦτα τὰ ὀνόματα παρὰ τὴν ναῦν· ἀπὸ κοινοῦ δὲ τὸ "ἄρξει". VEΓΘMLh

book 1309b οὐδέ] ἄρξει. Γ2

book 1310a εἴπερ ἐκ πεύκης γε κἀγώ: ὡσανεὶ ἔλεγεν “εἴπερ ἐξ ἀνθρώπων εἰμὶ κἀγώ”. οὐχ ἁπλῶς δέ, ἀλλ’ οἷον “εἰ χολὴν ἔχω”. ἀπὸ τούτου τὸ πευκεδανόν. VEΓΘMLh

book 1310b εἴπερ] ἐπεὶ ἢ ἐάν. Γ2

book 1310c ἐπηγνύμην] ἐκατεσκευάσθην. Γ2

book 1311a ταῦτ’] τὸ ἄρχειν ἐκεῖνον. VEΓ2Lh

book 1311b δοκῶ] ἐδόκει μοι, κρίνω. Γ2

book 1312a εἰς τὸ Θησεῖον: ἐνταῦθα οἱ καταφεύγοντες τῶν ἱκετῶν ἀσυλίαν εἶχον. μέσον δὲ τῆς πόλεως ἦν τῶν Ἀθηνῶν. VEΓ2ΘM

book 1312b ἢ ’πὶ τῶν σεμνῶν θεῶν: εἰς τὸ τῶν Ἐρινύων ἱερόν. καὶ ἐνταῦθα δὲ οἱ ἱκέται ἔφευγον. VEΘM

book 1312c ἐπὶ τῶν σεμνῶν θεῶν] εἰς τὸ τῶν Ἐρινύων. Γ2

book 1312d οἱ καταφεύγοντες εἰς τὸ Θησέως ἱερὸν τῶν οἰκετῶν ἀσύλως εἶχον. οὐ μόνον δὲ ἐν τούτῳ, ἀλλὰ καὶ εἰς τὸ τῶν Ἐριννύων. κατέφευγον γὰρ καὶ ἐν τούτῳ. Lh

book 1312e σεμνῶν θεῶν] τῶν Ἐριννύων. Lh

book 1313a ἐγχανεῖται] καταπτύσει, ἐνυβρίσει. VEΘLh

book 1313b στρατηγῶν] ἤγουν στολαρχῶν. Lh

book 1315a τὰς σκάφας] τὰ ξύλινα ἀγγεῖα. VEΘLh

book 1315b ἐπώλει τοὺς λύχνους: ὅτι λυχνοπώλης ἦν. VEΘLh

book 1315c καθελκύσας] εἰς τὴν θάλασσαν. Γ2

book 1316a (ad vv. 1316—34) εὐφημεῖν χρή: στίχοι ἐν ἐκθέσει ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ ιε′. VEΓΘ

book 1317b κλείειν] κατά. Γ2

book 1317 ἤδε γέγηθεν: ὅτι φιλόδικοι οἱ Ἀθηναῖοι. EΓΘLh

book 1318a παιωνίζειν: ὕμνον παιᾶνα ἄδειν. EΓΓ2ΘLh

book 1318b ἐπὶ] καὶ μετὰ καὶ ἕνεκεν. Γ2

book 1318c παιωνίζειν] χρή. Γ2

book 1318d τὸ θέατρον] ἤγουν τοὺς ἀκροατάς. Γ2

book 1320a ἐφ’ ὅτῳ κνισῶμεν ἀγυιάς: ἔθυον γὰρ πρὸ τῶν εὐαγγελιῶν πρὸ τῶν πυλῶν ἕκαστος. ἀγυιὰς δὲ τοὺς ἀγυιαίους θεούς. ἀντὶ τοῦ θυσίας ἐπιτελοῦμεν τοῖς θεοῖς. VEΓΘM

book 1320b ἔθος ἦν θύειν τοῖς ἐν ἀγυιαῖς ἱσταμένοις θεοῖς ἐπὶ ταῖς ἐρχομέναις ἀγγελίαις, ὡς ἂν εἰ ἀγαθαὶ εἶεν, ἐπινεύσαιεν ταύταις, εἰ δὲ τοὐναντίον, ἀποτρέψαιεν. Lh

book 1320c κνισῶμεν ἀγυιάς] θύομεν τοῖς ἐν ἀγυιαῖς θεοῖς. Lh

book 1321a ἀφεψήσας: καλῶς ὡς μάγειρος, ὥσπερ ἡ Μήδεια λέγεται τὰς τροφοὺς τοῦ Διονύσου ἀφεψήσασα ἀνανεάσαι ποιῆσαι. VEΓΘM

book 1321b ἀφεψήσας] ἀνανεάσαι ποιήσας ὥσπερ ἡ Μήδεια λέγεται τὰς τροφοὺς τοῦ Διονύσου ἀφεψήσασθαι. Lh

book 1323 ἰοστεφάνοις: ἴῳ στεφανουμέναις. ἴον δὲ καὶ λευκὸν ἄνθος καὶ μέλαν. κωμῳδεῖ δὲ τοὺς λυρικούς. VEΓ2ΘMLh

book 1325a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀριστείδῃ πρότερον: ἄριστοι ἐγένοντο ἀμφότεροι, Ἀριστείδης τε ὁ δίκαιος ἐπικαλούμενος καὶ Μιλτιάδης ὁ στρατηγός· οὗτος ἐν Μαραθῶνι ἐστρατήγησε. τοιοῦτος οὖν, φησίν, ὁ Δῆμος, καὶ ἐν τοιαύτῃ καταστάσει οἷος ἦν πολιτευομένων ἐκείνων. VEΓΘMLh

book 1325b οἷόσπερ] τοιοῦτος ἐγένετο καὶ νῦν. Γ2

book 1325c ξυνεσίτει] συνήσθιε. Γ2

book 1326 ψόφος] κτύπος. Γ2

book 1327a ἀλλ’ ὀλολύξατε: εὔξασθε, ἀνευφημήσατε· καὶ Ὅμηρος “αἳ δ’ ὀλολυγῇ πᾶσαι”. VEΓ2M

book 1327b ὀλολύξατε] εὔξασθε, εὐφημήσατε. Lh

book 1328 ἵν’] ὅπου. Γ2

book 1329a ἀριζήλωτοι: πλήρεις ἢ γέμουσαι κατορθωμάτων. VEΓ3ΘLh

book 1329b totus versus] ἀπὸ Πινδάρου παρῴδηται. EΓ2Lh

book 1330 μόναρχον] τὸν Δῆμον. Γ2

book 1331a τεττιγοφόρος: ἔθος ἦν τοῖς Ἀθηναίοις τὸ παλαιὸν τέττιξι χρυσοῖς ἀναδεῖσθαι τὴν κόμην, ὡς Θουκυδίδης. οὕτω δὲ οἱ εὐγενεῖς ἐφόρουν παῖδες καὶ ἄνδρες ἀναπλέκοντες εἰς τὴν κεφαλήν. δηλοῖ δὲ ὅτι αὐτόχθονες ἦσαν. VEΓΘMLh

book 1331b τεττιγοφόρος] φορῶν τοὺς τέττιγας· ἔθος γὰρ εἶχον φορεῖν ⟦τὰ πτερὰ⟧ τοὺς τέττιγας, ὡς ἐκ γῆς φυομένων καὶ ἐκείνων. Γ2

book 1331c ὅδ’ ἐκεῖνος] ὁ Δῆμος. Γ2

book 1331d ὅδ’ ἐκεῖνος] ποταμὸς ἡδὺς πιεῖν. Γ2

book 1331e ὁρᾶν] ὥστε. Γ2

book 1331f τεττιγοφόρος] πεπλεγμένος ἐν τέττιγι. Lh

book 1332a οὐ χοιρινῶν ὄζων: ὅτι χοιρίναις ἐχρῶντο πρότερον πρὸ τῶν ψήφων· εἰσὶ δέ τινες κόγχαι θαλάσσιαι. “σπονδῶν” δέ, τῶν τῆς εἰρήνης. VEΓΘM

book 1332b χοιρινῶν] ψήφων. Γ2

book 1332c σπονδῶν] φιλιῶν. Γ2

book 1332d κατάλειπτος] κατειλημμένος. Γ2

book 1332e ὅτι χοιρίναις ἐχρῶντο πρότερον πρὸ τῶν ψήφων, ὡς προείρηται. εἰσὶ δὲ κόγχαι θαλάσσιαι. Lh

book 1332f σπονδῶν] τῶν τῆς εἰρήνης. Lh

book 1334a (I) τοὐν Μαραθῶνι τροπαίου: εἰκότως τούτου ἐμνημόνευσεν, ἐπειδὴ Ἀθηναῖοι μόνοι ἐν Μαραθῶνι τοὺς βαρβάρους ἐνίκησαν. ἡ γὰρ ἐν Σαλαμῖνι νίκη καὶ ἡ ἐν Πλαταιαῖς ἐδόκει κοινὸν ἔργον εἶναι πάντων τῶν Ἑλλήνων. VEΓΘMLh (II) ἄλλως: μόνου τούτου μέμνηται, ὅτι τὰ μὲν ἄλλα κατορθώματα κοινῇ πᾶσα ἡ Ἑλλὰς ἐποίησε κατὰ τῶν βαρβάρων, τὸ δ’ ἐν Μαραθῶνι μόνοι οἱ Ἀθηναῖοι. VEΓ3

book 1334b καὶ τοὐν Μαραθῶνι τροπαίου: τῆς κατὰ τῶν βαρβάρων νίκης καὶ τοῦ τροπαίου οὗπερ ἔστησαν ἐν Μαραθῶνι καταναυμαχήσαντες αὐτοὺς καὶ νικήσαντες. VEΓΘ

book 1334c ἄξια πράττεις] ἀντὶ τοῦ εὐτυχεῖς ἢ ἀξίως πολιτεύῃ τῆς πόλεως. Γ2

book 1334d τροπαίου] τῆς κατὰ τῶν βαρβάρων νίκης. Lh

book 1335 (ad vv. 1335—1408) ὦ φίλτατ’ ἀνδρῶν: ἐν εἰσθέσει ἴαμβοι τρίμετροι ἀκατάληκτοι οδʹ, καὶ μετὰ τὸν τελευταῖον κορωνὶς ἡ τοῦ δράματος. VEΓΘ

book 1337a ἀλλ’ ὦ μέλε: τὸ “ὦ μέλε” οὐκ ἐπὶ βλασφημίας ἔταττον. VEΓΘMLh

book 1337b ὦ μέλε] μέση λέξις τοῦτο. Γ2

book 1338 νομίζοις] ἐνόμιζες· τὸ εὐκτικὸν ἀντὶ τοῦ παρεληλυθότος. Γ2

book 1339 ἦν] ἀντὶ τοῦ ἔα, ὑπῆρχον. Ε

book 1340 ἐν τῇ ἐκκλησίᾳ: εἴ τις πρὸς χάριν λέγων κολακεύσειέ σε ἐρᾶν σου προσποιούμενος. τοιούτοις γὰρ οἱ στρατηγοὶ ἐκολάκευον τὸν δῆμον ῥήμασιν. VΕΓ2ΘΜ

book 1340b ὁπότ’ εἴποι τις] εἴ τις πρὸς χάριν λέγων κολακεύσειέ σοι. Lh

book 1342a προβουλεύω] ἤγουν προμηθεύομαι ὑπὲρ σοῦ. Γ2

book 1342b κήδομαί σου καὶ προβουλεύω] προσποιούμενος ἐρᾶν σου· τοιούτοις γὰρ οἱ στρατηγοὶ ἐκολάκευον τὸν δῆμον ῥήμασι. Lh

book 1343 τούτοις] ἐπανάληψις. Γ2

book 1344a (I) ἀνωρτάλιζες: ἐμετεωρίζου καὶ μέγα ἐφρόνεις. ἢ ἀντὶ τοῦ ἀνεκουφίζου, ὠχοῦ, ἐπήρου, καὶ ταχέως ἐπίστευες πρὶν δοκιμάσαι· ὀρταλίζειν δὲ λέγεται ἐπὶ τῶν ἀρχομένων ἀναπτερύσσεσθαι ὀρνίθων. VΕΓ2ΘΜ (II) ἄλλως: ὄρω ἐστὶ ῥῆμα βαρύτονον. ἔνθεν “ὅτε τ’ ὤρετο μητιέτα Ζεύς”. ἀφ’ οὗ ὄνομα ῥηματικὸν ὄρτος, καὶ ὀρτῶ ῥῆμα. τὸ δὲ ὀρτῶ ῥῆμα ποιεῖ τὸ ὀρτίζω, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς ὀρταλίζω. δηλοῖ δὲ τὸ ὀρταλίζειν τὸ ἀναρρίπτειν τὰ νήπια τῶν παιδίων. οἷον ὀρούειν ποιεῖν εἰς ὕψος· κατεχρῶντο δὲ τῇ λέξει καὶ ἐπὶ ἄλλης κινήσεως, ἥντινα ἔδει κινεῖσθαι. VΕΓ3Μ

book 1344b κἀκερουτίας: τὴν κεφαλὴν ἀνέτεινες δίκην τῶν κερατοφόρων ζῴων ⟦ὅτι εὐειδῆ· τινὲς δέ, μετεωρίζοντα τὴν κορυφήν⟧. δηλοῖ δὲ τὸ γαυριᾶν. ὡς ἔλαφος, φησίν, ἠγάλλου τοῖς κέρασιν. ἀπὸ δὲ τῶν κερατοφυούντων ἡ λέξις. ἑξῆς οὖν τοῦ πτερόφυτον εἶπε τὸ κερατοφυεῖν. VΕΓ2ΘΜ

book 1345 ἀντὶ τούτων] ἤγουν ἐπὶ τούτοις τοῖς λόγοις. Γ2

book 1347 ἐξεπετάννυτο: ἐξηνοίγετο· τουτέστι ῥᾳδίως ἐπείθου τοῖς λέγουσι. VΕΓ2(bis)ΘΜLh

book 1348a σκιάδειον: σκέπασμά τι, ὅπερ αἱ γυναῖκες παρὰ τοῖς Ἀθηναίοις ἔχουσι θεωροῦσαι ὑπὲρ τοῦ μὴ καίεσθαι τὰς ὄψεις ὑπὸ τοῦ ἡλίου· ἐκτείνεται δὲ καὶ συστέλλεται πρὸς τὸν κατεπείγοντα καιρόν. VΕΓΘΜ

book 1348b ξυνήγετο] τοιαῦτα γὰρ τὰ σκιάδεια. Γ2

book 1348c σκέπασμά τι εἶχον παρὰ τοῖς Ἀθηναίοις αἱ γυναῖκες ἐν τοῖς ἀγροῖς ἐξερχόμεναι τοῦ μηκέτι καίεσθαι ὑπὸ τοῦ ἡλίου τὰς ὄψεις, ὅπερ ἐκάλουν σκιάδειον. ἐξετείνετο δὲ καὶ πάλιν συνεστέλλετο πρὸς τὴν τοῦ καιροῦ χρείαν. Lh

book 1349 γέρων] ἀντὶ τοῦ λῆρος. Γ2

book 1351 ποιεῖσθαι] κατασκευάζειν. Γ2

book 1352 καταμισθοφορῆσαι: εἰς μισθὸν ἀναλῶσαι, μισθὸν διδόναι ἐν τῇ ἐκκλησίᾳ καὶ τοῖς δικαστηρίοις, τὸν δικαστικὸν καὶ τὸν ἐκκλησιαστικόν. VΕΓΘΜLh

book 1353a παραδραμὼν] παρευδοκιμήσας. ΕΓ2

book 1353b παραδραμὼν] παρευδοκιμήσας, νικήσας. Lh

book 1354a τί κύπτεις;: ὡς αἰσχυνθέντος αὐτοῦ. δεῖ δὲ νοεῖν ὅτι ὁ Δῆμος ἀκηκοὼς ταῦτα ὑπ’ αἰδοῦς κατέκυπτε καὶ εἰς τὴν γῆν ἀτενῶς ἀπέβλεπεν αἰδούμενος ἐφ’ οἷς ἐδόκει μὴ καλῶς πράττειν. VΕΓΘΜ

book 1354b οὐχὶ κατὰ χώραν μενεῖς;: οὐκ ἐπὶ σεαυτοῦ μενεῖς καὶ ἡσυχίαν σχήσεις; VΕΓΘΜLh

book 1354c οὗτος τί κύπτεις;] ὑπ’ αἰδοῦς κατέκυψεν. Γ2

book 1354d κατὰ χώραν] ἐπὶ σεαυτοῦ, κατὰ σεαυτόν. Γ2

book 1354e δεῖ νοεῖν ὅτι ὁ Δῆμος ἀκηκοὼς ταῦτα καὶ ὥσπερ αἰσχυνθεὶς ἐφ’ οἷς ἐδόκει μὴ καλῶς πράττειν κάτω εἰς γῆν ὑπ’ αἰδοῦς ἔβλεπεν. Lh

book 1355 totus versus] ἀτενὲς βλέπειν αἰδοῦμαι, φησίν, ἐφ’ οἷς ἔδοξα μὴ καλῶς πράττειν καὶ διὰ τοῦτο ὑπ’ αἰδοῦς κατακύπτω. Lh

book 1358a ξυνήγορος] ῥήτωρ. ΕΓ2Lh

book 1358b βωμολόχος] πανοῦργος. Lh

book 1359 ἄλφιτα] τροφή. ΕΓ2Lh

book 1360a εἰ μὴ καταγνώσεσθε: εἰ μὴ κατακρινεῖτε καὶ καταδικάσετε. VΕΓΘ

book 1360b καταγνώσεσθε] καταδικάσῃ. Γ2

book 1360c καταγνώσεσθε] κατακρίνητε καὶ καταδικάσητε. Lh

book 1362a εἰς τὸ βάραθρον: τόπος Ἀθήνησι βαθύς, ὅπου καὶ τοὺς Δαρείου πρέσβεις ἔβαλον. πάντα δὲ τὰ ἐκεῖ βαλλόμενα ἀφανῆ ἐποίει. VΕΓΘΜ

book 1362b βάραθρον] τόπος Ἀθήνησι βαθὺς ἀφανῆ ποιῶν τὰ ἐκεῖ ἐμβαλλόμενα, ἐν ᾧ καὶ τοὺς Δαρείου πρέσβεις ἔβαλλον. Lh

book 1363a ἐκ τοῦ λάρυγγος: ὅτε γὰρ κατεπόντουν τινάς, βάρος ἀπὸ τοῦ τραχήλου αὐτῶν ἐκρέμων. φαίνεται δὲ ὁ Ὑπέρβολος ἤδη εἰσβὰς εἰς τὴν πολιτείαν. λέγεται δὲ καὶ λάρυγξ καὶ φάρυγξ. VΕΓΘΜ

book 1363b Ὑπέρβολον] ἀντὶ τοῦ λίθον. ΕΓ2

book 1363c δύο εἰσὶν ἐν τῷ τραχήλῳ αὐλοί, ὁ μὲν τὴν φωνὴν ἐξάγων, ὁ δὲ τὴν τροφὴν εἰσάγων. ἀλλ’ ὁ μὲν τὴν φωνὴν ἐξάγων αὐλὸς καλεῖται λάρυγξ, ἐξ οὗ καὶ τὸ λαρυγγίζειν, ὁ δὲ τὴν τροφὴν εἰσάγων φάρυγξ. φαίνεται δὲ καὶ ὁ Ὑπέρβολος ἤδη εἰσβὰς εἰς τὴν πολιτείαν. Lh

book 1366a ναῦς δ’ ἐλαύνουσι μακράς: πολεμίας. τὰς τριήρεις δέ φησι. τὰ δὲ στρογγύλα πλοῖα φορτηγά εἰσιν. VΕΓΘΜ

book 1366b μακράς] τριήρεις, πολεμίας. Μ

book 1366c μακράς] τὰς πολεμικὰς τριήρεις φησίν. Lh

book 1367a καταγομένοις] καταίρουσιν, ἐλλιμενίζουσιν. Γ2

book 1367b ἐντελῆ] τέλειον. Lh

book 1368a (I) ὑπολίσποις: οἱ γὰρ Ἀθηναῖοι πάντες λεπτοὶ ἐτύγχανον τὰ ὀπίσθια ἀπὸ Θησέως· ὑπόλισπα δὲ τὰ τετριμμένα. κοινῶς γοῦν τοὺς Ἀθηναίους λισπόπυγάς φησι. καὶ πλάττονται τὸν περὶ Θησέως μῦθον, ὅτι ἑλκόμενος ὑπὸ τοῦ Ἡρακλέους κατέλιπεν ἐπὶ τῇ πέτρᾳ τὴν πυγήν. νῦν δὲ οἰκείως εἶπεν ἐπὶ τῶν ἐρεσσόντων διὰ τὴν καθέδραν λεπτοπύγων ὄντων. VΕΓ2ΘΜ (II) ἄλλως: ἐστενωμένοις. τοιαῦται δὲ αἱ πυγαὶ τῶν ναυτῶν διὰ τὴν συνεχῆ ἕδραν καὶ εἰρεσίαν. VΕΘΜ

book 1368b ὑπολίσποις] τετριμμένοις. Μ

book 1368c ὑπολίσποις] τετριμμένοις τὰς πυγὰς καὶ λεπτοπύγοις ἀπὸ τῆς διηνεκοῦς καθέδρας. Lh

book 1368d ὑπόλισπα λέγονται τὰ τετριμμένα. Ἀθηναῖοι δὲ πάντες λεπτοὶ ἐτύγχανον τὰ ὀπίσθια ἀπὸ Θησέως. πλάττουσι τὸν περὶ Θησέως μῦθον, ὅτι ἑλκόμενος ὑπὸ Ἡρακλέους κατέλιπεν ὑπὸ τὴν πέτραν τὴν πυγήν. νυνὶ δὲ οἰκείως εἶπεν ἐπὶ τῶν ἐρεσσόντων διὰ τὴν καθέδραν λεπτοπύγων ὄντων ἢ ἐστενωμένων τὰς πυγάς. τοιαῦται γὰρ αἱ πυγαὶ τῶν ναυτῶν διὰ τὴν συνεχῆ ἕδραν καὶ ἠρεσίαν. Lh

book 1369 ἐν καταλόγῳ: ἐν τῷ καταλόγῳ, ἐν τοῖς πίναξιν, ἐφ’ ὧν ἐνέγραφον τῶν ἐκστρατευομένων τὰ ὀνόματα. ἐκαλοῦντο γὰρ κατάλογοι. VΕΓ2Γ3ΘΜLh

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1370a κατὰ σπουδὰς] κατὰ ἄλλου σπουδήν. E

book 1370b κατὰ σπουδὰς] ἤγουν κατὰ τὸν καιρόν. Γ2

book 1370c σπουδὰς] τὰς ἐπίτηδες φιλίας. Γ2

book 1370d μετεγγραφήσεται] μετατεθήσεται. Γ2

book 1371 ἐγγεγράψεται] ἐγγεγραμμένος διαμενεῖν. Γ2

book 1372a τὸν πόρπακα τὸν Κλεωνύμου: δειλὸς γὰρ καὶ ῥίψασπις ὁ Κλεώνυμος. VEΓ3ΘLh

book 1372b totus versus] ῥίψασπις γὰρ οὗτος. Γ2

book 1373a οὐδ’ ἀγοράσει] οὐ νῦν ἐν ἀγορᾷ διατρίψει. ELh

book 1373b ἀγοράσει] δημηγορήσει. Γ2

book 1374a Κλεισθένης καὶ Στράτων: γύννιδες οὗτοι καὶ πιττούμενοι τὰ γένεια, λεῖοι δὲ καὶ μαλακοί. VEΓ2Γ3Θ

book 1374b Κλεισθένης καὶ Στράτων] οὗτοι λεῖοι τὰ γένεια καὶ μαλακοί. Lh

book 1375a τἀν τῷ μύρῳ: οὕτως Ἀττικοὶ ἀντὶ τοῦ ἐν μυροπωλείῳ, ἀπὸ τῶν πωλουμένων τοὺς τόπους καλοῦντες. VEΓ3ΘMLh

book 1375b μύρῳ] τόπος. Γ2

book 1377a ὁ Φαίαξ: δεινὸς ῥήτωρ ὁ Φαίαξ οὗτος, ὡς καὶ ἀποφυγεῖν θανάτου ἐπ’ αὐτοφώρῳ κρινόμενος. κωμῳδεῖται δὲ ὡς παρακρούων τὰ μειράκια. VEΓΘMLh

book 1377b Φαίαξ] δεινὸς ῥήτωρ οὗτος. Lh

book 1378a συνερκτικός: συνείρειν τοὺς λόγους καὶ συντιθέναι δυνάμενος εὐκόλως. “περαντικὸς” δέ, πέρας ἐπιτιθεὶς τοῖς λόγοις. VEΓΘM

book 1378b συνερκτικὸς] συνεργητικός. M

book 1378c περαντικός] ἤγουν πέρας ἐπάγων τοῖς αὑτοῦ λόγοις. Γ2

book 1378d συνερκτικὸς] συνείρειν τοὺς λόγους καὶ συντιθέναι δυνάμενος. Lh

book 1378e περαντικός] πέρας ἐπιθεῖναι τοῖς λόγοις 〈δυνάμενοσ〉. Lh

book 1379a κρουστικός: τὰ ὦτα τῶν ἀκροωμένων κρούων τῇ σφοδρότητι τῶν λόγων. VEΓΘMLh

book 1379b γνωμοτυπικὸς] γνωμολογικός. E

book 1380a καταληπτικός: προκαταλαμβανόμενος τοὺς ἀκούοντας ὥστε θόρυβον μὴ κινῆσαι. VEΓΘLh

book 1380b τοῦ θορυβητικοῦ] λαοῦ. Γ2

book 1381a καταδακτυλικός: ἀντὶ τοῦ συνουσιαστικὸς κατὰ τοῦ δακτυλίου, τοῦ πρωκτοῦ. “τοῦ λαλητικοῦ” δέ, τῶν λαλούντων ταῦτα, τῶν περὶ Κλεισθένη καὶ Στράτωνα. ἄδηλος δὲ ὁ στίχος, καὶ πάντες αὐτὸν ἐσημειώσαντο διὰ τὸ ἀκατάλληλον· ἄδηλον γὰρ τίς τίνι λέγει. VEΓΘM

book 1381b καταδακτυλικὸς] ἀντὶ τοῦ συνουσιαστικός. Lh

book 1381c τοῦ λαλητικοῦ] τῶν λαλούντων ταῦτα, τῶν περὶ Κλεισθένη καὶ Στράτωνα. Lh

book 1381d ἄδηλος οὗτος ὁ στίχος καὶ πάντες αὐτὸν ἐσημειώσαντο διὰ τὸ ἀκατάλληλον. ἄδηλον γὰρ τίς τίνι λέγει. Lh

book 1384a ὀκλαδίαν: συγκεκλασμένος δίφρος, καὶ ποτὲ μὲν ἐκτεινόμενος, ποτὲ δὲ συστελλόμενος. VEΓΘMLh

book 1384b νυν] δή. Lh

book 1385a καὶ παῖδ’ ἐνόρχην: ἐπειδὴ παρὰ τοῖς βαρβάροις σπάδωνες, οὗτος ἐνόρχην δίδωσιν. VEΓΘMLh

book 1385b οἴσει] κομίσει. Γ2

book 1386a δοκῇ σοι] περαίνειν καὶ κύφειν, κακεμφάτως. E

book 1386b τοῦτον] τὸν παῖδα· παίζει δέ. Lh

book 1388 τριακοντούτιδες: πόρνας εἰσφέρει. διὸ καὶ φησίν, ἔξεστιν αὐτῶν κατατριακοντουτίσαι. VEΓΘMLh

book 1389 σπονδάς: σπονδὰς ἐσπείσαντο μετὰ Εὐβοίας ἅλωσιν οἱ Ἕλληνες πρὸς ἑαυτούς, πρὸ τοῦ Πελοποννησιακοῦ πολέμου. VEΓΘMLh

book 1390a ὡς καλαί: εἰσῆλθον αἱ σπονδαί, ἑταῖραι ὡραῖαι ὑποκρινόμεναι τὰ πρόσωπα τῶν σπονδῶν· πρὸς ἃς λέγει ὁ Δῆμος. VEΓΘM

book 1390b ὡς] λίαν. Γ2

book 1390c εἰσῆλθον ἑταῖραι ὡραῖαι τὰς ὄψεις ὑποκρινόμεναι τὰς σπονδάς, πρὸς ἃς ὁ Δῆμος λέγει ταῦτα. Lh

book 1391a κατατριακοντουτίσαι] εἰς συνουσίαν· παίζει γάρ. ELh

book 1391b κατατριακοντουτίσαι] συνουσιάσαι. Γ2

book 1392 οὐ γὰρ ὁ Παφλαγών: μετὰ τὴν Κλέωνος καὶ Βρασίδου τελευτὴν σπονδαὶ τοῖς Πελοποννησίοις καὶ Ἀθηναίοις ἐγένοντο τριακοντούτιδες. οὗτοι γὰρ ἠναντιοῦντο τῇ εἰρήνῃ. ἀποθανόντων οὖν αὐτῶν ἐγένοντο αἱ σπονδαί. VEΓΘMLh

book 1395 ἰέναι] ἀπέρχεσθαι. Γ2

book 1396 εἴφ’] εἰπέ. Lh

book 1399a τὰ κύνεια μιγνύς: συμφύρων τὰ τῆς πόλεως πράγματα. ὅτι καὶ οἱ μάγειροι τὰ κρέα μιγνύουσιν. VEΓΘMLh

book 1399b τοῖς ὀνείοις πράγμασιν] τοῖς τοῦ 〈ὄνου〉 κρέασιν. Γ2

book 1399c πράγμασιν] ἤγουν κρέασιν ὤφειλεν εἰπεῖν· ἀντὶ δὲ κρεάτων εἶπε “πράγμασιν”. Γ2

book 1399d ἔθος ἐστὶ τοῖς μαγείροις καὶ πιπράσκουσι τὰ κρέα μιγνύειν κρέα προβάτων τε καὶ αἰγῶν καὶ προτιθέναι ὡς μόνων προβάτων καὶ ἐξαπατᾶν τοὺς ἀφελεστέρους. Lh

book 1401 τὸ λοῦτρον: τὸ ἀπόλουμα καὶ ῥυπαρόν, ὅ ἐστι τὸ ἀπόλουτρον. VEΓΘMLh

book 1402 οὗπερ] τὸ πρᾶγμα ἐκεῖνο. Γ2

book 1403 διακεκραγέναι] καὶ ἀκατατάκτως. Γ2

book 1404 τούτων] ἤγουν ὧνπερ ποιῶν ἐργάσῃ. Γ2

book 1405a εἰς τὴν ἕδραν] εἰς τὴν προεδρίαν. ELh

book 1405b ἵν’] ὅπου. Γ2

book 1406a τὴν βατραχίδα: εἶδος ἐσθῆτος ἀνθίνης, ὅμοιον τῷ ὀνόματι ἐχούσης τὸ χρῶμα. VEΓΘLh

book 1406b τὴν βατραχίδα: βατραχὶς εἶδος ἐσθῆτος, τῇ εἱλήσει πέλον ἐμφερές, εὐανθὲς τὸ χρῶμα κεκτημένη. M

book 1407a κἀκεῖνον ἐκφερέτω τις: αἰρόμενος ἐκφέρεται ὁ Κλέων. VEΓΘLh

book 1407b ἐκφερέτω] ἤγουν τὸν Κλέωνα. Γ2

book 1408a ἵν’ ἴδωσιν αὐτόν: τὸ ἑξῆς, ἵνα ἴδωσιν αὐτὸν οἱ ξένοι οἷς ἐλωβᾶτο. VEΓΘ

book 1408b ἐλωβᾶτο] ἐλυμαίνετο. Γ2Lh